des Kreon und in der Darlegung seiner Ansichten über die Pflichten des Staatsoberhaupts, ergänzt also die Darstellung des aufregenden Moments. Die zweite Scene (Wächter und Kreon) bringt mit dem Beginn der eigentlichen Handlung die erste Stufe der Steigerung. — Der zum ersten Male in seiner neuen Würde und im Bewußtsein seiner Herrschermacht vor die Bürgerschaft tretende König, welcher kommt, um sein Verbot noch einmal feierlich und nachdrücklich bekannt zu machen (33), legt die Grundsätze seiner Regierung dar, um seine Handlung gegen Polynikes zu rechtfertigen. 163. Auch ὤρθωσαν entspricht dem Bilde wie 190 ὀρθῆς („das vom Sturme herüber und hinüber geworfene Schiff gerade richten"). Vgl. Cic. ad fam. XII 25 una navis est iam bonorum omnium, quam quidem nos damus operam ut rectam teneamus. 164. πομποῖσιν für διὰ πομπῶν, weil an Boten der sächliche Begriff hervortritt. ἐκ πάντων δίχα, auserlesen und ausgeschieden aus der Gesamtheit. 166. εὖ zu σέβοντας. Der Schol. bemerkt: ἐγκωμιάζει πρῶτον αὐτούς. ἀναγκαῖον δὲ τῷ παριόντι πρῶτον ἐπὶ πολιτικὴν ἀρχὴν εὔνους ἑαυτῷ καταστῆσαι τοὺς ὑπηκόους.— θρόνων: Kr. II 44, 3, 5. 167 ff. τοῦτ' αὖθις für τοῦτο δέ wie Öd. Tyr. 603 τοῦτο μὲν . . τοῦτ' ἄλλο. — τοὺς κείνων παῖδας: des Laios (Ödipus) und des Ödipus (Eteokles), indem die Zeit während und nach der Regierung des Ödipus zusammengefaßt und die Treue gegen das angestammte Herrscherhaus überhaupt gerühmt wird. 169. ἐμπέδους φρ. „festgewurzelt in der Gesinnung, unerschütterlich treu". Vgl. Ai. 639 ὀργαῖς ἔμπεδος. 170. ὅτε wie ἐπειδή. 172. Der Greuel des Brudermords ist mit dem Untergang verbunden (σύν, in). 173. πᾶν κράτος, summum imperium. 174. γένους κατ' ἀγχιστεῖα (ἀγχιστεῖον gebildet wie ἀριστεῖον) bildet einen Begriff („als der nächste Anverwandte"), von dem der zweite Gen. τῶν ὀλωλότων abhängig ist.

ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλῄσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ νέμω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι

175. Nach dem alten Spruch, welcher bald dem Bias, bald dem Chilon oder Solon beigelegt wird, ἀρχὴ ἄνδρα δείκνυσιν. Kreon sagt: „Herrschaft ist der beste Prüfstein für den Charakter eines Mannes, denn wer da, wo eines ganzen Volkes Wohl von ihm abhängt, nicht ohne persönliche Rücksichten handelt und bloß das Beste der Gesamtheit im Auge hat, ist niederträchtig. Das Vaterland muß uns mehr als alle Freundschaft gelten." — ἀμήχανον (οὐ δυνατόν) πρὶν ἄν ein hyperbolischer Ausdruck für „da erst recht (gibt sich der Sinn jedes Mannes zu erkennen)". 176. ψυχήν . . γνώμην, Gemüt, Verstand und Gesinnung. 177. ἀρχαί, Regierung, νόμοι, staatliche Ordnung. — ἐντριβής von längerer Beschäftigung. 180. ἐγκλῄσας: vgl. das sprichwörtliche κλὴς ἐπὶ γλώσσᾳ βέβακε (Öd. K. 1052). 182 f. μείζονα φίλον . . πάτρας: die Anwendung ergibt für Kreon, daß auch die Rücksicht auf den nächsten Verwandten (Polynikes) der Pflicht gegen das Vaterland weichen muß. Die Begründung wird so gegeben, als ob es sich um einen lebenden Feind handelte. — Über ἀντί (wie πρό) statt ἤ nach einem Komparativ vgl. Kr. I 49, 2, 7. — οὐδαμοῦ (nullo loco) νέμω wie οὐδαμοῦ τιμᾶσθαι, νομίζειν, τιθέναι, φαίνεσθαι. 184. ἐγὼ γάρ: anstatt der Gesinnung wird die daraus sich ergebende Handlungsweise dargelegt. 187. οὔτ' ἄν ποτε ἄνδρα δυσμενῆ χθονὸς (Kr. I 48, 13, 3) θείμην ἐμαυτῷ φίλον. 189 f. ἥδε, ἡ χθών, ἡ πατρίς. Σῴζουσα war auch der Name eines athenischen Staatsschiffes (Böckh, Urkunden über das Seewesen des att. Staates. XVII a). — In ταύτης ἐπὶ ὀρθῆς . . ποιούμεθα liegt das Hauptgewicht auf ὀρθῆς. Der Gedanke ist: „nur so lange das Vaterland wohl er=

ἥδ' ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἐπὶ
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν·
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι παίδων τῶν ἀπ' Οἰδίπου πέρι·
Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δόρει,
τάφῳ τε κρύψαι καὶ τὰ πάντ' ἐφαγνίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς.
τὸν δ' αὖ ξύναιμον τοῦδε, Πολυνείκη λέγω,
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς,
φυγὰς κατελθών, ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατ' ἄκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῇδ' ἐκκεκήρυκται τάφῳ
μήτε κτερίζειν μήτε κωκῦσαί τινα,

halten bleibt, ist es möglich, sich Freunde zu erwerben; die Freundschaft (Verwandtschaft) muß also dem Vaterlande nachstehen (182), weil es ohne Vaterland keine Freundschaft gibt". Einen ähnlichen Gedanken spricht Perikles bei Thuk. II 60 aus. — *τοὺς φίλους*, die Freunde, die wir uns erwerben. **191** f. *αὔξω . . καὶ νῦν*: vgl. 7 (*τοιοῖσδε νόμοις ἐγὼ ἀεὶ αὔξω τήνδε τὴν πόλιν καὶ νῦν. .*). **195.** *πάντ' ἀριστεύσας*, den höchsten Preis errungen. Vgl. zu 173. **196** f. *τὰ πάντα*: alle Weihegüsse und Grabesspenden. — *ἐφαγνίσαι, ἁγνίσαι ἐπὶ τῷ τάφω.* — *τοῖς ἀρίστοις* mit Beziehung auf *ἀριστεύσας* d. i. „alles nach Verdienst". Vgl. Ai. 1378 *τὸν θανόντα τόνδε συνθάπτειν θέλω καὶ ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν ὅσων χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.* **199.** Ebenso Äsch. Sieb. 569 *πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς πορθεῖν.* **200.** Statt eines allgemeinen *ἠθέλησε πορθεῖν* (*γῆν καὶ θεούς*) folgt eine spezielle Schilderung, um das Frevelhafte des Vorhabens zu kennzeichnen. **201.** *κατ' ἄκρας* wie bei Homer *ὤλετο πᾶσα κατ' ἄκρης Ἴλιος* (*N* 772), von oben herab, bis zur Spitze. **202.** *αἵματος κοινοῦ πάσασθαι* wie *ὠμὸν βεβρώθοις Πρίαμον* (Hom. *Δ* 35), *ὠμὸν καταφαγεῖν τινα, ὠμοῦ ἐσθίειν τινός* von wildester Rachewut gesagt wird; *τοὺς δέ*, andere aber, da das Vorausgehende von einem Teile (*τῶν μέν*) gilt. **203.** *τάφῳ*, welches nur zu *κτερίζειν* gehört, steht vor *μήτε* wie *αὐδὴν* vor *τε* Phil. 1411 *αὐδὴν τὴν Ἡρακλέους ἀκοῇ τε κλύειν λεύσσειν τ'*

ἐὰν δ' ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέν τ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα, κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμῇ προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων·
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.
ΧΟ. σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως, <παθεῖν>
τὸν τῇδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει.
νόμῳ δὲ χρῆσθαι παντί που μέτεστί σοι
καὶ τῶν θανόντων χὠπόσοι ζῶμεν πέρι.
ΚΡ. ὡς ἂν σκοποί νυν ἦτε τῶν εἰρημένων —
ΧΟ. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.
ΚΡ. ἀλλ' εἴσ' ἕτοιμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.
ΧΟ. τί δῆτ' ἂν ἄλλο τοῦτ' ἐπεντέλλοις ἔτι;
ΚΡ. τὸ μὴ ἐπιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
ΧΟ. οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ.
ΚΡ. καὶ μὴν ὁ μισθός γ' οὗτος· ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ὄψιν. 205 f. καὶ (ἐὰν) δέμας (αὐτοῦ) ἐδεστὸν καὶ αἰκισθὲν ἰδεῖν (schmählich zugerichtet anzusehen). 211. παθεῖν ist nach dem Sinne ergänzt. Nach παῖ Μενοικέως ist das überlieferte Κρέον müßig und dem Sprachgebrauche nicht entsprechend. 213. που schwächt das Zugeständnis ab. 214. Der Relativsatz ὁπόσοι ζῶμεν vertritt einen Gen. Vgl. zu 35. 215. ὡς ἄν: „damit ihr nun u. s. w." Der Hauptsatz μὴ ἐπιχωρεῖτε τοῖς ἀπιστοῦσιν τάδε folgt 219 in anderer Form nach, weil der Chorführer den König, der nicht leicht einen einmal gegebenen Befehl zurücknimmt, nicht ausreden läßt. Der Chorführer erwartete den Befehl „so gehet hin und stellt euch bei der Leiche auf." Vgl. Öd. T. 325 ὡς οὖν μηδ' ἐγὼ ταὐτὸν πάθω —. — τοῦ νεκροῦ γε: „ich meine etwas anderes; dafür ist gesorgt". 218. τοῦτο weist zurück auf den bereits angedeuteten Befehl 215 („welchen anderen Befehl noch magst du da im Sinne haben?"). Vgl. Eur. Iph. A. 1009 ΑΧ. ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ' ἔχῃ καλῶς. ΚΛ. τί τοῦτ' ἔλεξας; ὡς ἀκουστέον γέ σου. 219. ἀπιστεῖν wie 381, 656 „ungehorsam sein". ἀπιστεῖν τάδε wie 96 βιάζομαι τάδε (lat. id cogor), Trach. 1228 μεγάλα πιστεύειν „in großen Dingen gehorsam sein" (Acc. des inneren Obj.). 221. ὑπό „unter Einwirkung von, infolge von". — ἐλπίδων von der Hoffnung glücklich durchzukommen wie Thuk. III 45 τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι. Der Gedanke

ΦΥΛΑΞ.

Ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα·
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν.
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη·
„τάλας, τί χωρεῖς οἷ μολὼν δώσεις δίκην;"
„τλήμων μενεῖς αὖ; κεἰ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρός, πῶς σὺ δῆτ' οὐκ ἀλγυνῇ;"
τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδύς,
χοὔτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν,
σοί, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσων ὅμως·
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος,

bereitet den falschen Verdacht Kreons vor. **223.** Durch die glückliche Erfindung, den Wächter das erste Mal ohne Kenntnis des Thäters auftreten zu lassen, erreicht der Dichter eine allmähliche Steigerung der Leidenschaft. Durch die Worte des Chorführers 278 f. gereizt, redet sich Kreon infolge falschen Argwohns in eine sittliche Entrüstung (295 ff.) und Erbitterung hinein, welche ihm die ruhige Auffassung und das unbefangene Urteil benimmt. — Benehmen, Reden und Gedanken charakterisieren den Wächter als einen Mann vom Volke. — *σπουδῆς ὕπο*: andere Boten rühmen ihre Eilfertigkeit (*κοῦφον ἐξάρας πόδα*), um ihren Diensteifer zu zeigen. — *κοῦφον ἐξάρας πόδα* wie *κοῦφον αἴρειν βῆμα* Eur. Tro. 342, *ἅλμα, πήδημα κουφίζειν* Ai. 1287, Eur. El. 861. Vgl. „was leichte Beine hatte, war ausgeflogen". **225 f.** *φροντίδων* (gen. subiect.) *ἐπιστάσεις* in dem transitiven Sinne von *ἐφίστημι*: „oft brachten mich die Sorgen zum Stehen". — *ὁδοῖς*: an verschiedenen Stellen des Weges wie Öd. K. 553. — *κυκλῶν*: wie Unentschlossene thun, die nicht wissen, ob sie gehen oder umkehren sollen; sie drehen sich um und wieder um. **229 f.** *καὶ πῶς, εἰ .. εἴσεται Κρέων, οὐκ ἀλγυνῇ;* (wie *κλαύσῃ*, Wirkung für die Ursache). **231 f.** *σχολῇ βραδύς*: „von mir galt das Sprichwort *σπεῦδε βραδέως* (festina lente) nicht; ich eilte nicht mit Weile, sondern ging mit Weile langsam und während andere den langen Weg verkürzen, machte ich den kurzen Weg lang". **233 f.** *ἐνίκησεν* „drang es (der Entschluß) durch". Vgl. Kr. II 61, 5, 4 und unten 274. Dem Sinne *ἐβουλευσάμην* entspricht der Nom. *φράσων*. Vgl. Eur. Hek. 970 *αἰδώς μ' ἔχει ἐν τῷδε πότμῳ τυγχάνουσ' ἵν' εἰμὶ νῦν* und unten 260. — *τὸ μηδέν* „das reine Nichts". **235 f.** *τῆς, τῆσδε*, Kr. II 50, 2, 4. —

τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
ΚΡ. τί δ' ἔστιν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
ΦΥ. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ· τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ' οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν,
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
ΚΡ. εὖ γε στοχάζῃ κἀποφράγνυσαι κύκλῳ
τὸ πρᾶγμα· δηλοῖς δ' ὥς τι σημανῶν νέον.
ΦΥ. τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
ΚΡ. οὐκ οὖν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;
ΦΥ. καὶ δὴ λέγω σοι. τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε, κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας κἀφαγιστεύσας ἃ χρή.
ΚΡ. τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
ΦΥ. οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή, στύφλος δὲ γῆ

δεδραγμένος (ἀντειλημμένος, mordicus tenens), ein vulgärer Ausdruck. — τὸ μὴ παθεῖν ἄν wie nach ἐλπίζω. Fatalismus des gemeinen Mannes. 237. Vgl. Ter. Eun. V 5, 9 ere, primum te arbitrari id quod res est velim: quidquid huius factumst, culpa non factumst mea. Aristot. Rhet. III 14 οἱ δοῦλοι (welche eine schlimme Sache zu berichten haben) οὐ τὰ ἐρωτώμενα λέγουσιν, ἀλλὰ τὰ κύκλῳ καὶ προοιμιάζονται. 241 f. εὖ στοχάζῃ „du stehst da, wie einer, der lange zielt, um sicher zu treffen, und lange warten läßt, bis er endlich den Pfeil abschießt", also s. v. a. „du brauchst lang, bis du zur Sache kommst". — ἀποφράγνυσαι κύκλῳ τὸ πρᾶγμα: eig. „durch einen Zaun, den du rings um dich errichtest, wehrst du die Sache von dir ab", „du verwahrst dich nach allen Seiten gegen die Sache". — δηλοῖς: vgl. 20. — ὡς pleonastisch wie Ai. 326 δῆλός ἐστιν ὥς τι δρασείων κακόν. 243. γάρ: ich glaube gerne, daß man mir die Angst ansieht; denn das Schreckliche macht ängstlich. 244. ἀπαλλαχθείς (vgl. Äsch. Eum. 180 χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν), „dich weghebend, damit ich dich los werde" (aus den Augen). 245. καὶ δή, ἤδη, nun denn. 246 f. καὶ παλύνας καὶ ἐφαγιστεύσας, nähere Bestimmung zu θάψας: durch das Bestreuen mit Staub und die Darbringung der üblichen Grabesspenden (vgl. 196) ist die Bestattung vollendet. — διψίαν, wie bibula arena Lucr. II 376, bibulam favillam Verg. Än. VI 227. In dem trockenen Staube konnte man die Weihegüsse sehen. 248. Das in Kreons Mund unwillkürliche ἀνδρῶν enthält für den Zuschauer eine gewisse Ironie. 249. οὔτε . . οὐ für οὔτε . . οὔτε findet sich öfters bei den Tragikern. 250 f. Der feste

καὶ χέρσος ἀρρὼξ οὐδ' ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
ὃ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ,
λεπτὴ δ', ἄγος φεύγοντος ὥς, ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς οὔτε του κυνῶν
ἕλκοντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί,
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίγνετο
πληγὴ τελευτῶσ', οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργής, ἀλλ' ἔφευγε μὴ εἰδέναι.
ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν

und trockene Boden (bei solcher Beschaffenheit des Bodens war ein gewaltsames Aufreißen notwendig, wenn man jemand mit Erde bedecken wollte) war ungebrochen (von der Pflugschar) und nicht von Rädern aufgefahren: Bemerkungen des umständlichen Wächters. **252.** ὁ ἐργάτης τις, der Thäter der doch irgend wer sein mußte. **255 f.** ὃ μέν, nämlich ὁ νεκρός. — Statt eines dem τυμβήρης entsprechenden Partizips oder Adjektivs folgt ein selbständiger Satz. — ἄγος φεύγοντος (wie von einem, der u. s. w., Gen. zur Bezeichnung des Urhebers): es war eine Sünde, wenn einer die Leiche, die er unbestattet liegen sah, nicht wenigstens mit drei Hand voll Staub bedeckte (Schol., Älian Verm. Gesch. V 14 u. II 49, Hor. carm. I 28, 33 ff.). **257.** του gehört auch zu θηρός. **258.** ἕλκοντος, der die Leiche (länger) herumgezerrt, σπάσαντος, der einzelne Stücke abgerissen hätte. **260 f.** φύλαξ ἐλ. φ. („indem ein Wächter den andern zur Rede stellte"), Apposition zu dem gedachten Subjekt („wir behandelten einander mit bösen Worten"). Vgl. Kr. I 56, 9, 4. — καὶ ἂν ἐγίγνετο („und es drohte am Ende noch zu Schlägen zu kommen"): das Imperfekt bezeichnet, daß er es kommen sah. — ὁ κωλύσων (Frieden stiften): Kr. I 50, 4, 3, Cu. 199 Anm. 1, Ko. 105, 3 Anm., Ku. 229 Anm. 1. **263.** ἀλλὰ (ἕκαστος) ἔφευγε μὴ (nach dem eine Verneinung enthaltenden Verbum: Kr. I 67, 12, 3) εἰδέναι: „entzog sich dem Wissen (der anderen)". Man dachte es von jedem, von keinem aber wußte man es. Der Begriff ἕκαστος ergibt sich aus dem Gegensatz (ἀλλά) zu οὐδείς (Kr. I 61, 4, 2). Vgl. Hor. Sat. I 1, 1—3. **264 f.** Ein bemerkenswertes Zeugnis für die Anwendung von Ordalen bei den Griechen. — διέρπειν („über Feuer weggehen") wie ἕρπειν bei den

καὶ πῦρ διέρπειν καὶ θεοὺς ὁρκωμοτεῖν,
τὸ μήτε δρᾶσαι μήτε τῳ ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι μηδ' εἰργασμένῳ.
τέλος δ', ὅτ' οὐδὲν ἦν ἐρευνῶσιν πλέον,
λέγει τις εἷς, ὃ πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προύτρεψεν· οὐ γὰρ εἴχομεν
οὔτ' ἀντιφωνεῖν οὔθ' ὅπως δρῶντες καλῶς
πράξαιμεν. ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν, οἶδ' ὅτι·
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.

ΧΟ. ἄναξ, ἐμοί τοι, μή τι καὶ θεήλατον
τοὔργον τόδ', ἡ ξύννοια βουλεύει πάλαι.

ΚΡ. παῦσαι, πρὶν ὀργῆς καί με μεστῶσαι λέγων,
μὴ ἐφευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτά, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην

Tragikern häufig die Bedeutung „einhergehen" hat. **266 f.** Die Worte *τὸ . . εἰργασμένῳ* sind einer gebräuchlichen Schwurformel entlehnt. — *ξυνειδέναι τινί* „wissen mit dem anderen der es von sich weiß" d. i. „wissen um die That des anderen". Vgl. Xen. Anab. VII 6, 18 *σύνοιδέ μοι εἰ ἐπιορκῶ*. **268.** *οὐδὲν ἦν πλέον* (*ἡμῖν*), wir hatten keinen Erfolg. **269.** *εἷς* ist hinzugefügt um des folgenden *πάντας* willen in artig scherzhafter Anwendung des bei den Tragikern beliebten Gegensatzes der Zahlbegriffe. Vgl. 14. **271.** *ὅπως* ist mit *δρῶντες* zu verbinden („wir wußten nicht, wie wir es ausführen sollten, damit es uns gut d. h. nicht übel ergehe"). *πράξαιμεν* entspricht dem deliberativen Konjunktiv der Gegenwart, vgl. zu Öd. T. 72. **275.** *καθαιρεῖν* ist gerichtlicher Ausdruck von der Verurteilung. — *τοῦτο τἀγαθόν* scherzhaft, weil in der Regel um etwas Gutes das Los geworfen wird. **278.** *μή τι καὶ* (wie 280 *πρὶν καί*, „gar") *θεήλατόν ἐστι* wie *ὅρα, ὁρῶμεν μὴ* mit dem Indik. verbunden wird („ob nicht"), vgl. Kr. I 54, 8, 12, Cu. 210, 2 Anm. 2, Ku. 179 Anm. 4. **281.** *μὴ ἐφευρεθῇς ἄνους* (*νήπιος*) *κτέ.*, während sonst das Alter klug macht. Vgl. Öd. K. 930. **283.** *πέρι* wie *κήδεσθαι περί τινος* Phil. 621,

ἔκρυπτον αὐτόν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα
δίκην τ' ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν· ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοί
κρυφῇ κάρα σείοντες, οὐδ' ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ' ἔβλαστε, τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησιν δόμων·
τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν·
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.

προνοεῖσθαι περί τινος, προμηθεῖσθαι ὑπέρ τινος. **285.** ἔκρυπτον „mit Staub bedeckt". **287** f. δίκην καὶ νόμους wie 368 f. — διασκεδῶν (disicere, disturbare): vgl. Öd. K. 619 τὰ νῦν ξύμφωνα δεξιώματα δόρει διασκεδῶσιν. — τοὺς κακοὺς . . θεούς: der Vortrag läßt leicht das Subjekt und das Objekt unterscheiden. Vgl. Eur. Hik. 505 ἢ θεοὺς δικαίως τοὺς κακοὺς ἀπολλύναι. **289** f. ταῦτα . . ἐρρόθουν (erweiterter Gebrauch des inneren Objekts): Kreon hat im Sinne, was 293 in anderer Weise folgt: in solcher Weise murrten lange schon manche Bürger gegen mich, daß ich wohl erkenne, daß nur sie die Anstifter sind. **291** f. κάρα σείοντες (um das Joch abzuschütteln): der Ausdruck entspricht dem folgenden Bilde ὑπὸ ζυγῷ . . . εἶχον. — δικαίως, pflichtgemäß. — στέργειν ἐμέ (Acc. des Objekts) wie Trach. 486 στέργε τὴν γυναῖκα (sich zufrieden geben, sich gefallen lassen, sich in etwas fügen). **293.** ἐκ und πρός bei Dichtern für ὑπό beim Passiv. — τούτους, istos, die Thäter. — καλῶς ἐξεπίσταμαι wie εὖ, καλῶς οἶδα. **296.** νόμισμα, Brauch, Einrichtung. **297.** ἄνδρας, ἰδιώτας. **289.** ἵστασθαι ist von dem ferner stehenden ἐκδιδάσκει abhängig (φρένας χρηστὰς βροτῶν παραλλάσσον ἐκδιδάσκει πρὸς αἰσχρὰ πράγματα ἵστασθαι, τρέπεσθαι). Vgl. Eur. Iph. T. 1309 ἔψευδον αἵδε καί μ' ἀπήλαυνον δόμων, ὡς ἐκτὸς εἴης. **300** f. πανουργίας ἔχειν (üben) ausdrucksvoller als πανουργεῖν. — παντὸς ἔργου δυσσέβειαν εἰδέναι (zu jeglicher Unthat die gottlose Gesinnung

ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ' εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμιν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν,
ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον,
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωμένους.
ΦΥ. εἰπεῖν τι δώσεις, ἢ στραφεὶς οὕτως ἴω;
ΚΡ. οὐκ οἶσθα, καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;

hegen) wie *ἀθεμίστια εἰδέναι* bei Homer. **303.** *χρόνῳ ποτε* gehört zu *δοῦναι δίκην*: „die werden es schon noch einmal büßen, das haben sie damit erreicht“. Gerne wird bei Androhung von Strafe und Rache *χρόνῳ* (*ὑστέρῳ χρόνῳ, μεταῦθις ἐν χρόνῳ, ἔτι*) *δώσεις δίκην* u. ä. gesagt. **304.** *σέβας ἴσχειν* vertritt das Passiv von *σέβομαι*. **308 f.** Der Gedanke „ihr sollt nicht einfach sterben (*οὐχ Ἅιδης μοῦνος ἀρκέσει*), sondern vorher so lange gezüchtigt werden (*ζῶντες κρεμαστοί*), bis ihr über diesen Frevel Aufschluß gebet“ erscheint in verkürzter, zusammengezogener Form. Vgl. 87. Zu *ἀρκέσει* vgl. Isokr. 19, 47 *ἡ μήτηρ πασῶν ἂν εἴη δυστυχεστάτη γυναικῶν, εἰ μὴ μόνον ἐξαρκέσειεν αὐτῇ στέρεσθαι τῶν παίδων, ἀλλὰ καὶ τοῦτ' αὐτῇ προσγένοιτο.* In seiner Leidenschaftlichkeit schöpft Kreon Verdacht gegen die Wächter und ist geneigt sie selber für die bestochenen Thäter zu halten (vgl. 322). — *κρεμαστοί* d. h. an einer Säule (*κίων*) oder der s. g. Leiter (*κλῖμαξ*) festgebunden, vgl. Ai. 108, Hom. *χ* 176, Aristoph. Frö. 618. **311.** *τὸ λοιπὸν* (wie 717) *ἁρπάζητε* im Sinne „damit euch für die Zukunft solches Treiben vergehe“ ohne Rücksicht auf den in Aussicht gestellten Tod. **312.** *ἐξ ἅπαντος* gehört zu *τὸ κερδαίνειν* („aus allem Gewinn ziehen“). Vgl. *ἀπὸ παντὸς κερδαίνειν* Xenoph. Memor. II 9, 4, *μὴ πάντοθεν κέρδαινε* Men. 625. **313.** Über den Artikel bei dem Kompar. trotz des folgenden *ἤ* s. Kr. I 50, 4, 13. **315 f.** *οὕτως* (*ὡς ἔχω*) so ohne weiteres, ohne eine Entgegnung. — *ὡς καὶ νῦν . . λέγεις*, daß du auch jetzt schon u. s. w., d. h. deine bisherigen Reden waren mir schon widerwärtig genug, ich

ΦΥ. ἐν τοῖσιν ὠσὶν ἢ ἐπὶ τῇ ψυχῇ δάκνῃ;
ΚΡ. τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
ΦΥ. ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
ΚΡ. οἴμ' ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
ΦΥ. οὔκ οὖν τό γ' ἔργον τοῦτο ποιήσας ποτέ.
ΚΡ. καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
ΦΥ. φεῦ.
ἦ δεινόν, ᾧ δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν.
ΚΡ. κόμψευέ νυν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.
ΦΥ. ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι

will nicht mehr hören. **318.** δε̄ wie παρᾱ 712: ῥ hat allein von den liquidae die Eigenschaft, die vorausgehende Silbe zu verlängern, bei den dramatischen Dichtern behalten. Die betreffende Silbe muß in der Arsis stehen. — *ῥυθμίζεις* („abmessen") wegen der Sonderung und Abgrenzung des Sitzes des Ärgers („was willst du mit deiner Abteilung des Ärgers, indem du nach dem Sitze meines Ärgers fragst?"). **319.** *σὲ — τὰς φρένας*: dem persönlichen Accus., besonders der persönlichen Pronomina wird bei Dichtern öfters der betroffene Teil epexegetisch beigefügt, vgl. Kr. II 46, 16, 3. **320.** *οἴ με* statt des gewöhnlicheren *οἴ μοι* (*οἲ ἐγώ*). — *δῆλον ἐκπεφυκός* nach *λάλημα* für *δῆλος ἐκπεφυκώς* (es ist augenscheinlich, daß du als Schwatzhaftigkeit geboren bist). **321.** *οὔκ οὖν — γε* (*οὐ γοῦν*) „wenn auch *λάλημα*, so wenigstens nicht Thäter". **323.** *καὶ ταῦτα — γε*: „ja und zwar". *γέ*, wenn das Vorausgehende mit einer näheren Bestimmung bekräftigt wird. — *προδούς*, nämlich *ποιήσας εἶ* (*ἐποίησας*) *τὸ ἔργον τοῦτο.* **323 f.** Die Athener waren an *δοκεῖ τινι* als Ausdruck souveräner Entschließung gewöhnt, da die ausgefertigten Volksbeschlüsse mit *ἔδοξεν τῷ δήμῳ* begannen. Das zweite *δοκεῖν* bezeichnet das dem Irrtum ausgesetzte Dünken und Annehmen (etwa „wahrhaftig schlimm ist's, daß wer beschließt, auch Falsches schließt"). *γέ* „bei einem andern ist's nicht so schlimm" (*τούτῳ γε ᾧ δοκεῖ καὶ ψευδῆ δοκεῖν*). Vgl. El. 1039 *ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.* — *κόμψευε . . δόξαν* „mache du nur witzige Wortspiele mit deinem *δοκεῖν* (deinem Schließen und Beschließen)". **324 ff.** *τοὺς δρῶντας ταῦτα.* Vgl. zu Öd. T. 139. — *τὰ δειλὰ κέρδη,* der diebische Gewinn heimlichen Betrugs verrät eine feige Seele. *κέρδεα δειλά* Theogn. 835. — Nach 326 geht Kreon wieder in den Palast hinein. **327 f.** „Entdeckt möge er werden, wie du verlangst; das ist auch mir das Liebste (*μάλιστα*); aber von diesem Zufall

ληφθῇ τε καὶ μή, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με·
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

ΧΟΡΟΣ.

Πολλὰ τὰ δεινά, κοὐδὲν ἀν- stroph. I.
θρώπου δεινότερον πέλει·
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ περιβρυχίοι-

mache ich mein Schicksal nicht abhängig." *ἐὰν . . τε καὶ μή* für *ἐάν τε — ἐάν τε* wie Öd. K. 488 *σύ τ' αὐτὸς κεἴ τις ἄλλος* für *εἴτε σὺ αὐτὸς εἴτε ἄλλος τις.* Vgl. Plat. Gorg. 487 A *βασανιεῖν ἱκανῶς ψυχῆς πέρι ὀρθῶς τε ζώσης καὶ μή.* 332—375 erstes Stasimon. Der Chor, dessen Worte von 220 so schnell widerlegt worden sind, ist überrascht von der Verwegenheit desjenigen, der trotz angedrohter Todesstrafe das Verbot des Königs zu übertreten sich erkühnt hat. In dieser Stimmung stellt er Betrachtungen an über den kühnen, rastlosen und unaufhaltsamen Unternehmungs- und Erfindungsgeist des Menschen, welcher das Meer und die Erde, die Tiere der Luft, des Wassers und Feldes, das Roß und den Stier sich unterthan mache, welcher sich in den Einrichtungen und Künsten des sozialen Lebens (Sprache, Begründung des geselligen Lebens, Anlage von Wohnungen, Heilkunde) offenbare. Wende sich dieser kühne Sinn im Einklang mit Recht und Gesetz dem Guten zu, dann hebe er den Staat und bringe ihm Ruhm; wer aber mit seiner Kunst nur böser Selbstsucht fröne, der sei verabscheuungswürdig. Das logaödische Versmaß der ersten Strophe ist:

I —⏑⏑ —́⏑ —⏑ —   II ⏑—́⏑ —⏑ —⏑ ——
—— —́⏑⏑ —⏑ —   —́⏑⏑ —⏑⏑ —⏑⏑ —⏑⏑
—⏓ —́⏑⏑ —⏑ —   —́⏑⏑ —⏑⏑ —⏑⏑ —⏑⏑
—— —́⏑⏑ —⏑ —   — — —́⏑ —⏑ — —
——⏑ —́⏑⏑ —
—⏑ —́⏑ —⏑ —

334. *τοῦτο* „dieses Wesen", weil *οὐδὲν δεινότερον* vorhergeht. Vgl. 320. Im nächsten Satz tritt in poetischer Abwechslung *ἄνθρωπος* selbst als Subjekt ein. — *καί*, „auch über das Meer trotz der Gefahren". — *πολιός* das Homerische Epitheton. 335. *νότῳ*, dat. instr. (mit Hilfe des Windes). 336. *περιβρυχίοισιν· καλύπτουσι τὴν ναῦν* („unter überschlagenden Wogen

σιν περῶν ὑπ' οἴδμασιν,
θεῶν τε τὰν ὑπερτάταν Γᾶν,
ἄφθιτον ἀκαμάταν, ἀποτρύεται
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος,
ἱππείῳ γένει πολεύων·

κουφονόων τε φῦλον ὀρ- antistr. I.
νίθων ἀμφιβαλὼν ἀγρεῖ
καὶ θηρῶν ἀγρίων ἔθνη
πόντου τ' εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώ-
στοις, περιφραδὴς ἀνήρ·
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'
ἵππον ὀχμάζεται ἀμφὶ λόφον ζυγῷ
οὔρειόν τ' ἀκμῆτα ταῦρον.

hin"). **338** f. *ὑπερτάταν, πρεσβυτάτην,* wie Phil. 391 *παμβῶτι Γᾶ μᾶτερ αὐτοῦ Διός.* — *ἀκαμάταν* (poetische Form) mit langem *α* priv. wie auch sonst und wie *ἀπαράμυθον* Äsch. Prom. 201 und regelmäßig *ἀθάνατος.* — *ἀποτρύεται,* „er müht für sich ab", die unermüdliche. **340** f. *ἰλλομένων,* von dem Umwenden der Pflüge. Vgl. *ζεύγεα δινεύοντες* Hom. Il. 18, 543. — Ausdruck und Metrum malen die unermüdliche Thätigkeit. — *ἱππείῳ γένει, ἵπποις,* mit Maultieren. **343.** *κουφονόων* wie Theogn. 580 *σμικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.* In anderem Sinne 617. **344.** Mit *ἀμφιβαλών* ist *σπείραισι δικτυοκλώστοις* zu verbinden. Die Stellung hebt den gleichmäßigen Gebrauch des Garnes für die drei Arten der Tiere hervor. — *ἀγρεῖ, ἀγρεύει* Schol., *αἱρεῖ.* **347.** *πόντου εἰναλίαν* „das im Wasser des Meeres lebende Tiergeschlecht. Vgl. genus aequoreum Verg. Georg. 3, 243. **349.** *μηχαναῖς*: die gefangenen wilden Tiere werden zum Teil gezähmt und durch künstliche Vorrichtungen (durch das Joch) dienstbar gemacht. Das folgende ist also nur Ausführung von *κρατεῖ μηχαναῖς.* — *ἀγραύλου ὀρεσσιβάτα* hebt das freie Leben in der Wildnis in Gegensatz zu dem Dienst des zahmen Haustieres hervor. **351.** *ὀχμάσαι* wird im Schol. zu Apoll. Rh. I 743 erklärt mit *ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν ἢ ὑπ ὀὄχημα.* Es heißt „durch Stränge am Wagen befestigen". Das Medium wie bei *ὁπλίζεσθαι, ζεύγνυσθαι* („für sich"). „Dem Pferd und dem Stier legt der Mensch die Wagenstränge um den Nacken mit Hilfe des Joches" (an welches die Stränge angeknüpft werden). Der Stier trägt das Joch entweder am Kopfe oder wie

καὶ φθέγμα καὶ ἀνεμόεν stroph. II.
φρόνημα καὶ ἀστυνόμους
ἀγορὰς ἐδιδάξατο καὶ δυσαύλων
πάγων ἐναίθρεια καὶ
δύσομβρα φεύγειν βέλη,
παντοπόρος· ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φεῦξιν οὐ πεπάσεται·
νόσων δ' ἀμηχάνων φυγὰς
ξυμπέφρασται.

σοφόν τι τὸ μηχανόεν antistr. II.

das Pferd um den Nacken. **354.** Das metrische Schema der logaödischen zweiten Strophe ist:

I ⏒—́⏑⏑ —⏑⏑ —
⏑—́⏑⏑ —⏑⏑ —
⏑⏑—́⏑⏑ —⏑⏑ —⏑ ⌴ —
II ⏑—⏑ ⌴́ —⏑ —
⏑—⏑ ⌴́ —⏑ —

III —⏑ ⏑́⏑⏑ ⏑⏑⏑ —⏑—⏑—
⏑—⏑ ⌴́ —⏑ —
—⏑ —́⏑ —⏑ —
⏑—⏑ —́⏑ —⏑ —
—́⏑ ⌴ —

354 f. *φθέγμα καὶ ἀνεμόεν φρόνημα* steht wie eine Art Hendiadyoin, um die Sprache zu bezeichnen: „den Laut und den luftigen (körperlosen, weil er in bloßen Tönen zur Erscheinung kommt) Gedanken". Durch *φρόνημα* wird die Sprache von den Tierlauten unterschieden. — Vgl. Isokr. III § 6, Hor. Sat. I 3, 103. — *ἀστυνόμους ἀγοράς*, staatlenkende Beredsamkeit in den Volksversammlungen, zu welcher sich die Sprache entwickelte. **356.** *καὶ (ἐδιδάξατο) φεύγειν δυσαύλων πάγων* („Reif der das Lager unbehaglich macht") *ἐναίθρεια βέλη* (wie das Homerische *κῆλα*, „des unwirtlichen Reifes Frostpfeile") *καὶ δύσομβρα βέλη* („Geschosse des durchnässenden Regens"). Vgl. Äsch. Ag. 346 *ἐν οἰκήμασιν ναίουσιν ἤδη τῶν ὑπαιθρίων πάγων δρόσων τ' ἀπαλλαγέντες.* **360 f.** *ἐπ' οὐδὲν τὸ μέλλον* f. v. a. *ἐπὶ τὸ μέλλον οὐδέν*, bezeichnender als *ἐπ' οὐδὲν τῶν μελλόντων.* — *Ἅιδα . . πεπάσεται* (*κεκτήσεται, ἐπαυρήσεται*): der Satz hat nur untergeordnete Bedeutung („und wird er auch kein Mittel erfinden, dem Tod zu entgehen, so hat er doch u. s. w."), erhält aber durch die Koordination im Munde der Greise eine wehmütige Färbung. — *ἀμηχάνων φυγάς* (unheilbarer Krankheiten Heilung) wie *ἀκαμάταν ἀποτρύεται* 339. — In *ξυμπέφρασται* hat *ξύν* dieselbe Bedeutung wie in *σύννοια.* **365.** *τὸ μηχανόεν τέχνας σοφόν τι ἔχων, τὴν εὐπορίαν τέχνης σοφωτάτην ἔχων*, „indem er die Eigenschaft, überall Rat und Hilfe zu wissen, die ihm seine Kunstfertigkeit verleiht, als besonders geschickt und gewandt (d. h.

τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
ποτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει·
νόμους γεραίρων χθονὸς
θεῶν τ' ἔνορκον δίκαν,
ὑψίπολις· ἄπολις, ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν·
μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον φρονῶν
ὃς τάδ' ἔρδει.

ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε, πῶς εἰδὼς ἀντιλογήσω

zu außerordentlicher Geschicklichkeit ausgebildet) besitzt". Vgl. Thuk. II 89 μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες. **367.** ποτὲ μὲν ἐπὶ κακὸν (die Präposition ist wie unten 1176 u. ö. aus dem zweiten Gliede zu ergänzen), ἄλλοτε (für ποτὲ δέ, vgl. zu 61 und Hom. *Υ* 49 f. ὅτὲ μέν — ἄλλοτε) ἐπὶ ἐσθλὸν ἕρπει (ἔρχεται). **368** ff. Statt der gleichmäßigen Verbindung νόμους (μὲν) γεραίρων ὑψίπολις, τὸ (δὲ) μὴ καλὸν φρονῶν ἄπολις (Apposition zu dem allgemeinen Subjekt „der Mensch" — der seine Geschicklichkeit bald zum Guten, bald zum Bösen anwendet) wird das zweite Glied geändert. Der Nachdruck ruht auf ὑψίπολις — ἄπολις: „eine Zierde des Vaterlandes, wenn er die Gesetze des Staates hochhält und das bei den Göttern beschworene Recht (den Eid); ein Vaterlandsloser (dessen Treiben auf den Untergang des Vaterlandes gerichtet ist), wenn er einen unordentlichen, gesetzlosen Sinn hat seinem Wagemut frönend (τόλμας χάριν wie τόλμῃ χαριζόμενος, vgl. El. 331 θυμῷ ματαίῳ χαρίζεσθαι). **374.** παρέστιος . . ἴσον φρονῶν, „er möge weder mein Hausgenosse noch gleicher Gesinnung mit mir sein" d. h. „ich will keine Gemeinschaft mit ihm haben und seine Gesinnung nicht teilen". Vgl. Hor. carm. III 3, 26 vetabo . . sub isdem sit trabibus. **376–581** zweites Epeisodion. Antigone, vor den König geführt, empfindet nicht Scham und Reue ob ihres Ungehorsams, wie Kreon erwartet, sondern vertritt ihre That in einer Weise, die geeignet ist, den bereits erregten und gekränkten Herrscher aufs tiefste zu verletzen. Eine gleiche Überraschung erfährt Kreon durch das Benehmen der Ismene. Zweite Stufe der Steigerung. **376.** Die Anapäste des Chorführers begleiten die Bewegungen der auftretenden Personen (Wächter und Antigone, welche durch die linke Parodos kommen). — ἐς, in Ansehung. — δαιμόνιον, was menschlicher Verstand nicht begreifen kann. — τόδε zu τέρας. **377.** εἰδὼς ἀντιλογήσω s. v. a. εἰδότι ἐμαυτῷ ἀντιλογήσω,

τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην.
ὦ δύστηνος
καὶ δυστήνου πατρὸς Οἰδιπόδα,
τί ποτ'; οὐ δή που σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοις ἀπάγουσι νόμοις
καὶ ἐν ἀφροσύνῃ καθελόντες;

ΦΥΛΑΞ.

Ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ ἐξειργασμένη.
τήνδ' εἵλομεν θάπτουσαν. ἀλλὰ ποῦ Κρέων;
ΧΟ. ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ.

ΚΡΕΩΝ.

τί δ' ἔστι; ποίᾳ ξύμμετρος προὔβην τύχῃ;
ΦΥ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην· ἐπεὶ
σχολῇ ποθ' ἥξειν δεῦρό μ' ἐξηύχουν ἐγὼ
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ

wie ich meinem Wissen zum Trotz sagen soll. 378. οὐκ: Kr. I 67, 12, 2. — παῖδα zärtlich und teilnahmsvoll. 381. οὐ δή που σέ γε: das Hauptgewicht des Gedankens liegt wie oft in den Partizipien („nicht du bist hoffentlich die ungehorsame u. s. w."). Zu ἀπιστοῦσαν καὶ καθελόντες (statt ἁλοῦσαν) vgl. Kr. I 56, 4, 2. 384. τοὔργον gestellt wie ταῦτα 324. 386 f. Durch die ausdrückliche Hervorhebung des Zufalls wird der Anstoß des Zufälligen und Unmotivierten vermieden. Vgl. 1182. 388. ἀπώμοτον passivisch, 394 ἀπώμοτος aktivisch. Vgl. Archiloch. Frgm. 74 χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον. 389 f. ἐπίνοια („Nachbedacht straft den Vorsatz Lügen"): vgl. Ἐπιμηθεύς, Eur. Hipp. 436 αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. — με: der Acc. bei gleichem Subjekt wie El. 470 πικρὰν δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι u. ö., vgl. Kr. I 55, 2, 3. — ταῖς σαῖς ἀπειλαῖς kausal, Kr. I 48, 15, 5. Vgl. 691. 392 f. ἐκτὸς ἐλπίδων (vgl. 518) καὶ παρ' ἐλπίδας, was außer dem Bereiche der Hoffnung liegt und der Hoffnung entgegengesetzt ist (wovon man das Gegenteil erwartet hat). — μῆκος οὐδέν „diese Freude gleicht einer anderen — es gibt keine Ausdehnung, kein Maß dafür." Es gibt keinen Maßstab der Vergleichung, weil die eine unendlich größer ist als die andere. Der Ausdruck wie der ganze Gedanke eignet sich für

ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ,
ἥκω, δι' ὅρκων καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ' ἣ καθηρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο,
ἀλλ' ἔστ' ἐμὸν θούρμαιον, οὐκ ἄλλου, τόδε.
καὶ νῦν, ἄναξ, τήνδ' αὐτός, ὡς θέλεις, λαβὼν
καὶ κρῖνε κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
ΚΡ. ἄγεις δὲ τήνδε τῷ τρόπῳ πόθεν λαβών;
ΦΥ. αὕτη τὸν ἄνδρ' ἔθαπτε· πάντ' ἐπίστασαι.
ΚΡ. ἦ καὶ ξυνιεῖς καὶ λέγεις ὀρθῶς ἃ φῄς;
ΦΥ. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
ΚΡ. καὶ πῶς ὁρᾶται κἀπίληπτος ᾑρέθη;
ΦΥ. τοιοῦτον ἦν τὸ πρᾶγμ'· ὅπως γὰρ ἥκομεν
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,

den gemeinen Mann. **397.** *τὸ ἕρμαιον, τὸ εὕρημα*, der glückliche Fund. **398.** *λαβών, αὐτὸς ὡς θέλεις κρῖνε.* **400.** *ἀπηλλάχθαι τῶνδε κακῶν ἐλεύθερος* „dieser schlimmen Sache ledig zu sein, so daß ich frei bin" (*ἐλεύθερος* bezeichnet den Erfolg von *ἀπηλλάχθαι τῶνδε κακῶν*). Vgl. 345. **401.** *τῷ (τίνι) τρόπῳ πόθεν*: Kr. I 51, 17, 10, Cu. 189, Ko. 79 A. 5, Ku. 124 A. 2. **403.** *ξυνιεῖς*: *ἱεῖς, τιθεῖς* ist die attische Form der 2. Pers. Präs. für *ἵῃς, τίθῃς.* — *ὀρθῶς*, „bedienst du dich der richtigen Ausdrücke?" Diese Frage kennzeichnet die Überraschung des Kreon. **404.** *γέ*: zu 322. — *ἰδὼν (λέγω).* — *θάπτουσαν ὃν σὺ ἀπεῖπας (θάπτειν), τὸν νεκρόν* (als nachträgliche Erklärung), vgl. Öd. K. 907 *οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων*, Kr. II 57, 10, 3. **407** f. *ἥκομεν . . ἐπηπειλημένοι*: unmerklich geht der plur. maiest. in den eigentlichen Plural über: der einzelne ist Vertreter der ganzen Wachmannschaft. So ändert sich der Umfang des Subjekts Hom. *δ* 579 *ἂν δὲ καὶ αὐτοὶ* (wir) *βάντες ἐπὶ κληῖσι καθῖζον* (meine Gefährten). — *τὰ δεινά* von der Androhung martervollen Todes (308 f.), vgl. zu Ai. 312. **411.** *καθήμεθ' ἐκ πάγων* wie *ἐκ δίφροιο καθήμενος* Hom. *φ* 420, *ὀρθὸς ἐξ ὀρθῶν δίφρων* El. 742. — *ὑπήνεμοι*, der Gegensatz von *προσήνεμοι* (dem Winde zugekehrt). Die Wächter freuten sich, daß der Wind nicht von dem Leichnam herkam,

ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλῃ πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀκηδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἔστ' ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος
καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτόν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος, ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ' εἴχομεν θείαν νόσον.
καὶ τοῦδ' ἀπαλλαχθέντος ἐν χρόνῳ μακρῷ
ἡ παῖς ὁρᾶται, κἀνακωκύει πικρᾶς

nach dem sie hinblicken mußten. Solche Einzelheiten machen eine Erzählung anschaulich und glaubwürdig. Vgl. 418 f. **412.** *πεφευγότες ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλῃ*: der Konjunktiv hebt den thatsächlichen Erfolg hervor. **413.** *ἐγερτὶ κινῶν* bringt die nachträgliche Motivierung, warum die Thäterin nicht das erste Mal entdeckt wurde. Auch auf einem Sarkophagrelief (Robert, Ant. Sarkophagrel. Taf. LX Nr. 184) sind die Wächter schlafend dargestellt *ἐπίρροθα, ἐπὶ τὸν ἄνδρα ῥοθοῦντα* wie *ἐν ἀλλήλοισιν ἐρρόθουν* 259. — *κακά, λόγοι κακοί.* — *ἀκηδήσοι, ἀμελήσοι.* Das Fut. wie *τοῦδε* nach der direkten Rede: *κλαύσῃ εἰ τοῦ πόνου τοῦδε ἀκηδήσεις.* **416.** *ἐν αἰθέρι μέσῳ*: vgl. das Homerische *ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει.* **418 f.** *τυφὼς ἀείρας χθονὸς* (Kr. II 46, 1, 6) *σκηπτόν*, anschauliche Schilderung plötzlicher Windstöße, welche auf den Boden fahrend Staub aufwirbeln und nach allen Seiten fortjagen; *οὐράνιον ἄχος* („eine bis an den Himmel reichende Unfal") bezeichnet die Gewalt und Größe des Sturmes. Mit dieser Erfindung motiviert der Dichter die Rückkunft der Antigone, welche besorgt ist, der Wind möge den Leichnam wieder entblößt haben. An der Leiche selbst freilich muß Antigone sofort erkennen, daß die Entblößung nicht vom Winde, sondern von Menschen herrührt. **420.** *ἐν δέ* adverbial „und dabei". **421.** *μύσαντες*: deshalb erblickten sie Antigone nicht, wie sie sich näherte. — *θείαν νόσον*, divinitus immissam pestem; *εἴχομεν, ὑπείχομεν.* **422.** *ἐν*: zu 1066. **423 f.** *πικρᾶς*, erbittert gegen die Räuber. — *ὡς ὅταν* nach Homerischer Weise verbunden, obwohl schon *πικρᾶς ὄρνιθος* vorausgeht („wie er — der Vogel — thut, wann er"). Vgl. Hom. *π* 216 *κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοί, φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι.* — *κενῆς εὐνῆς* (das leere Nest) ist die äußere, *λέχος ὀρφανὸν νεοσσῶν* (das der Jungen be-

ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χαὔτη, ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἡμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην·
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ' οὐδενὸς καθίστατο,
ἅμ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα·
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. ἀλλὰ πάντα ταῦθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκεν τῆς ἐμῆς σωτηρίας.
ΚΡ. σὲ δή, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,
φὴς ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;

ΑΝΤΙΓΟΝΗ.

καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μὴ οὔ.

raubte Lager) die innere Wahrnehmung. **427.** *ἐκ δ' . . ἠρᾶτο, ἐξηρᾶτο δέ* (Tmesis). **430 f.** *ἄρδην* vor *πρόχου* gestellt, um die Beziehung (Antigone hebt die Kanne bei dem feierlichen Weihegusse hoch empor) deutlich zu machen. — *τρισπόνδοισι* dichterisch statt des abstrakten Zahlbegriffs *τριπλαῖς*. Vgl. Hom. *λ* 26. — *στέφει*, weil der Guß sich im Kreise um den Leichnam legt; so *στέφανος* Eur. Kykl. 517 von dem rings um das Haupt strömenden Blute. **432.** *ἱέμεσθα* ist das Präsens. — *συνθηρώμεθα δέ* (von allen Seiten, vgl. *συλλαμβάνειν*). **436.** *ἅμα — ἅμα* wie ö. im Lat. simul — simul, z. B. Verg. Än. I 513 obstupuit simul ipse, simul percussus Achates laetitiaque metuque. **438.** *τοὺς φίλους*: weil Antigone dem Königshause angehört. **439 f.** *πάντα ταῦτα ἐμοὶ πέφυκεν ἥσσω λαβεῖν* („geringfügiger zu erlangen"). Der Zusatz *λαβεῖν* ist gemacht mit Rücksicht auf das folgende *τῆς ἐμῆς σωτηρίας* (*σωτηρίαν λαβεῖν*, mit heiler Haut davonkommen). Vgl. El. 1015 *προνοίας οὐδὲν ἀνθρώποις ἔφυ κέρδος λαβεῖν ἄμεινον.* **441.** *σέ*: über die Ellipse von *λέγω* vgl. Kr. I 62, 3, 12. — *νεύουσαν . . κάρα*: Kreon

ΚΡ. σὺ μὲν κομίζοις ἂν σεαυτὸν οἷ θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον·
σὺ δ' εἰπέ μοι μὴ μῆκος, ἀλλὰ συντόμως,
ᾔδησθα κηρυχθέντα μὴ πράσσειν τάδε;
ΑΝ. ᾔδη· τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
ΚΡ. καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;
ΑΝ. οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη
τοιούσδ' ἐν ἀνθρώποισιν ὥρισεν νόμους·
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ' ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι [θνητὸν ὄνθ'] ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου ἐφάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
δώσειν. θανουμένη γὰρ ἐξῄδη, τί δ' οὔ;
κεἰ μὴ σὺ προυκήρυξας· εἰ δὲ τοῦ χρόνου

meint, sie thue es im Schuldbewußtsein. **443.** τὸ μὴ οὔ (δρᾶσαι): Kr. I 67, 12, 7. **444 f.** σύ: zum Wächter. — ἐλεύθερον (vgl. 399) für ἐλεύθερος auf σεαυτόν bezogen. **446 f.** μῆκος, μακρὸν λόγον, μακράν. — κηρυχθέντα, das Neutr. Plur. wie 570, 576, 677, 678, vgl Kr. II 44, 3, 9. **450 f.** D. h. Zeus hat ja andere Gesetze gegeben und anderes Recht gilt in der Unterwelt. Antigone wiederholt das von Kreon gebrauchte κηρύσσειν (447) hier wie 454, 461 absichtlich, um die κηρύγματα den νόμιμα θεῶν gegenüber herabzusetzen. — τάδε, ista. **451.** Δίκη heißt in allegorischem Sinne Beiwohnerin der unteren Götter, um das Recht der Toten zu bezeichnen. **455.** θνητὸν ὄντα: aus τὰ σὰ ergänzt sich σέ. **456.** νῦν γε κἀχθές wie χθὲς καὶ πρώην, bei Homer χθιζά τε καὶ πρώϊζα. — ἀεί ποτε (immerdar) wie Ai. 320. **457.** κοὐδεὶς . . ἐξ ὅτου ἐφάνη d. h. sie bestehen von undenklichen Zeiten her. **458.** τούτων, „für diese" d. h. für deren Übertretung. — οὐκ ἔμελλον, „war ich nicht gesonnen". — ἀνδρὸς (im Gegensatz zu θεοῖσι) οὐδενός für ἀνδρός τινος (vgl. zu 4), aus Menschenfurcht. **460 f.** θανουμένη γὰρ κτέ. gibt die Begründung zu ἀνδρὸς οὐδενὸς φρόνημα (A. Schwarz φόβημα) δείσασα: „der Tod ja ist für mich keine Strafe". Dieser Gedanke wird aber in einer für Kreon verletzenden Weise gegeben, besonders durch die Bemerkung „dazu bedurfte es deiner öffentlichen Bekanntmachung nicht".

πρόσθεν θανοῦμαι, κέρδος αὖτ' ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν, ὡς ἐγώ, κακοῖς
ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
[οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ' οὐδὲν ἄλγος· ἀλλ' ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ' ἄθαπτον ἠνσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖσδε δ' οὐκ ἀλγύνομαι.]
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.
ΧΟ. δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός· εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.
ΚΡ. ἀλλ' ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα
πίπτειν μάλιστα, καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ

σύ τ' οὐ(δαμά) wie Äsch. Prom. 185 καί μ' οὔτε μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσιν θέλξει, στερεάς τ' οὔποτ' ἀπειλὰς πτήξας τόδ' ἐγὼ καταμηνύσω. — ποτὲ gehört zu οὐ (οὔποτε, nachher οὐδαμά) wie πώ in Eur. Med. 365 ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ, πω. **764 f.** ἐν ὀφθαλμοῖς ὁρᾶν findet sich bei Dichtern häufig (mit eigenen Augen ansehen). — ὡς τοῖς θέλουσι . . ξυνών, damit du bei den Freunden rasest, die sich das gefallen lassen (d. h. da ich keine Lust habe, deine Raserei länger zu ertragen) wie 1088 ἵνα .. ἀφῇ. — Hämon geht links ab. **767.** βαρύς, gravis, Bedenken erweckend, vgl. 1251. **768.** Vgl. Äsch. Prom. 969 σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί. — μεῖζον ἢ κατ' ἄνδρα, ἄνθρωπον (quam pro homine). — ἰών bezieht sich auf das vorausgehende βέβηκεν: ἴτω, δράτω, φρονείτω. **770 f.** „So gedenkst du auch, so gedenkst du wirklich?" — Mit diesen zwei Versen wird die Rolle der Ismene beseitigt. **773.** ἄγων ἔνθα .. βροτῶν ἔρημος στίβος. **774.** κατώρυχι steht als Substantiv wie Eur. Hek. 1002 χρυσοῦ παλαιαὶ . . κατώρυχες. Anders 1100. Man muß an eine Grabkammer denken, zu welcher ein δρόμος führt (vgl. 1217), nach Art der mykenischen Grabkammern. **775 ff.** Soviel nur als Sühne ist, als zur Sühne dient. Es war ein alter Brauch, der auch bei den Römern und im Mittelalter sich findet, wenn man jemand lebendig einmauerte oder eingrub, etwas Nahrung mitzugeben, um den Schein und die Beruhigung zu haben, als müsse der arme Sünder nicht Hungers sterben. — πᾶσα, wie bei einem negativen Ausdrucke: „damit sich nicht die Befleckung über den ganzen Staat verbreite". Kreon bleibt kalt und urteilt kalt, wie überhaupt die letzten Worte desselben seine Schuld recht lebhaft zum Bewußtsein bringen. Von dem, was er 777 f. höhnisch sagt, geschieht das Gegenteil und gerade

ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τἀν Ἅιδου σέβειν.

ΧΟΡΟΣ.

Ἔρως ἀνίκατε μάχαν, stroph.
Ἔρως, ὃς ἐν κτήμασι πί-
πτεις, ὃς ἐν μαλακαῖς παρει-
αῖς νεάνιδος ἐννυχεύεις·
φοιτᾷς δ' ὑπερπόντιος ἔν τ'
ἀγρονόμοις αὐλαῖς,
καὶ σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς

dadurch wird für Kreon das Unheil herbeigeführt. 780. Kreon geht ins Haus hinein, um Anordnungen inbetreff der Einschließung der Antigone zu geben (886). Daher kennt nachher die auftretende Antigone die Art ihres Todes. 781—800 drittes Stasimon. Die Liebe des Hämon zur Antigone hat den leidenschaftlichen Streit zwischen Vater und Sohn hervorgerufen. Dies veranlaßt den Chor von der siegreichen Gewalt der Liebe zu singen. Vgl. Wolfram Parzival 292 frou Minne . . ezen hilfet gein iu schilt noch swert, snell' ors, hôch purc mit türnen wert: ir sît gewaldec obe der were. bêde ûf erde und in dem mere waz entrinnet iuwerm kriege, ez flieze oder fliege? Das Versmaß der logaödischen Strophe stellt sich in folgender Weise dar:

I ⏑ —⏑ ⌴́ —⏑⏑ — II ——⏑ ⌴́ —⏑⏑—
⏑ —⏑ ⌴́ —⏑⏑ ⌴ —⏑⏑ ⌴́ ⌴ —
—⏑ —́⏑⏑ —⏑ ⌴ —— —́⏑⏑ ⌴ —⏑⏑ ⌴́ —
—⏑ —́⏑⏑ —⏑ —— ⌴ —́⏑⏑ —⏑ —
⌴ —́⏑⏑ —⏑ —⏓

782. In ἐν κτήμασι liegt wie oft in Partizipien das Hauptgewicht des Satzes: „der du auf Eigentum fällst", d. i. wen du anfällst, der ist sofort dein Eigentum, dein „Sklave" (die Sklaven bezeichneten ihren Herrn mit ὁ κεκτημένος). 783. ἐννυχεύεις wie Hor. carm. IV 13, 6 ille (Cupido) virentis et doctae psallere Chiae pulchris excubat in genis. 786. ὑπερπόντιος wie ἁλία . . πλάτα θρῴσκει Öd. K. 716, ἐφέστιος ἦλθεν bei Homer Kr. II 57, 5, 2, Cu. 140, 1 Anm. 3, Ko. 71 Anm. 1. — φοιτᾷς ἐν wie umgekehrt παρεῖναι εἰς („du kommst dahin und hältst dich dort auf, du kehrst ein"). 787 f. φύξιμος mit dem zu ergänzenden

οὐδ' ἁμερίων σέ γ' ἀν-
θρώπων· ὁ δ' ἔχων μέμηνεν.

σὺ καὶ δικαίων ἀδίκους antistr.
φρένας παρασπᾷς ἐπὶ λώ-
βᾳ, σὺ καὶ τόδε νεῖκος ἀν-
δρῶν ξύναιμον ἔχεις ταράξας.
νικᾷ δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς
θεσμῶν· ἄμαχος γὰρ ἐμ-
παίζει θεὸς Ἀφροδίτα.

νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν δ'
οὐκέτι πηγὰς δύναμαι δακρύων,

ἐστί erhält die Konstruktion wie den Sinn von δύναται φεύγειν. — σέ γε nach σέ nachdrucksvoll, vgl. Phil. 1116 πότμος σε δαιμόνων τάδ' οὐδὲ σέ γε δόλος ἔσχεν. Die Menschen heißen im Gegensatze zu den ewigen Göttern ἡμέριοι, ἐφήμεροι, ἐφημέριοι, vgl. Cic. Tusc. I 39, 94. 790. ὁ ἔχων nach der Redensart ἔχει „er ist getroffen", hier vom Pfeile des Eros. 791 f. ἀδίκους (proleptisch).. παρασπᾷς ἐπὶ λώβᾳ du „verleitest den Sinn zur Kränkung (παρά wie in παράγειν, παρασαίνειν, „daneben, auf Abwege"), wodurch er ungerecht wird. 794. ξύναιμον für ξυναίμων. Vgl. unten 863 f. ματρῷαι und αὐτογέννητα. 795. ἐναργής (in die Augen fallend) enthält einen Gegensatz zu dem unsichtbaren Wirken sittlicher Gebote. — βλεφάρων ἵμερος νύμφης, der Augenliebreiz der Braut. 797 ff. πάρεδρος ἐν ἀρχαῖς θεσμῶν, συνάρχων θεσμοῖς, spricht ein Wort mit bei der Bestimmung des menschlichen Willens. Die Sinnlichkeit behauptet ihre Macht neben der Sittlichkeit. Vgl. Hes. Theog. 122 δάμναται (Eros) ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν. Genaue Responsion wird hergestellt, wenn man mit Arndt σύνθρονος für πάρεδρος ἐν schreibt. Vgl. Öd. K. 1382. — ἄμαχος ἐμπαίζει, unbezwinglich, obwohl sie nicht kämpft, sondern scherzt. 801—943 viertes Epeisodion, in welchem die Handlung ihren Höhepunkt (885) erreicht. — Die Anapäste wie 376. Antigone wird zur Totengruft abgeführt. — καὶ αὐτός, wie es eben von Hämon gesagt worden. Auch ich, sagt der Chorführer, lasse mich vom Affekte hinreißen, so daß ich die sittliche und rechtliche Seite der Sache unbeachtet lasse. 802. Der Ausdruck ἔξω φέρομαι ist von der Rennbahn entlehnt („aus dem Geleise, von der Bahn abkommen"). Vgl. Äsch. Prom. 909 ἔξω δὲ δρόμου φέρομαι. 803. πηγὰς δακρύων, die quellenden

τὸν παγκοίτην ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.

ΑΝΤΙΓΟΝΗ.

Ὁρᾶτ' ἔμ', ὦ γᾶς πατρίας πολῖται, stroph. I.
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγ-
γος λεύσσουσαν ἀελίου,
κοὔποτ' αὖθις. ἀλλά μ' ὁ πάγ-
κοινος Ἅιδας ζῶσαν ἄγει
τὰν Ἀχέροντος
ἀκτάν, οὔθ' ὑμεναίων ἔγ-
κληρον, οὔτ' ἐπὶ νυμφείοις πώ μέ τις ὕμνος
ὕμνησεν, ἀλλ' Ἀχέροντι νυμφεύσω.

ΧΟ. οὐκ οὖν κλεινὴ καὶ ἔπαινον ἔχουσ'
ἐς τόδ' ἀπέρχῃ κεῦθος νεκύων;
οὔτε φθινάσιν πληγεῖσα νόσοις
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ',

Thränen, Thränenfluten. 804 f. *τὸν παγκοίτην θάλαμον*, nicht zu dem besonderen Brautgemach. Vgl. zu 1203. — *ἀνύτουσαν (ὁδόν)*: zu 1103 f. 806—882 **Kommos** (Wechselgesang zwischen Schauspieler und Chor). Das Versmaß der ersten (logaödischen) Strophe ist folgendes:

I ⏓ – ⏑ ⏑́ – ⏑ ⏑ – ⏑ – –
– ́⏑ ⏑ – ⏑ –
II – ⏓ – ́⏑ ⏑ – ⏑ –
– – ́⏑ – ⏑ ⏑ –
III – ⏓ – ́⏑ – ⏑ ⏑ –
– ⏑ ́– – ⏑ ⏑ –
́⏑ ⏑ – ⏓
VI – ́⏑ ⏑ – – –
– ⏑ ́– ⏑ ⏑ – – – ́– ⏑ ⏑ – ⏑
– – ⏑ ́– ⏑ ⏑ – ⏑ – ́– –

808. *νέατον* steht adverbial für sich. 810. *ἀλλά* bezieht sich auf die Negation *οὔποτε*, als wenn der selbständige Satz *οὔποτ' αὖθις φέγγος ἀελίου ὄψομαι* vorherginge. — *πάγκοινος* wie El. 138 *Ἀΐδα παγκοίνου λίμνας*. 815. *οὔτε .. νυμφεύσω*: das zweite Glied hat sich selbständig gemacht. — *ὕμνος ὕμνησεν ἐπὶ* (vgl. Eur. Med. 192 *ὕμνους ἐπὶ μὲν θαλίαις κτέ.*) *νυμφείοις*, das *ἐπιθαλάμιον*, welches der Braut vor dem *θάλαμος* gesungen wurde. 820. *ἐπίχειρα*, Handgeld (*τὰ ὑπὲρ τὸν μισθὸν τοῖς χειροτέχναις*

ἀλλ' αὐτόνομος, ζῶσα μόνη δὴ
θνητῶν Ἅιδην καταβήσῃ.

ΑΝΤ. ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι — antistr. I.
τὰν Φρυγίαν ξέναν
Ταντάλου Σιπύλῳ πρὸς ἄ-
κρῳ, τὰν κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν.
καί νιν ὄμβροι τακομέναν,
ὡς φάτις ἀνδρῶν,
χιών τ' οὐδαμὰ λείπει, τέγ-
γει δ' ὑπ' ὀφρύσι παγκλαύτοις δειράδας· ᾇ με
δαίμων ὁμοιοτάταν κατευνάζει.

ΧΟ. ἀλλὰ θεός τοι καὶ θεογεννής,
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς.
καίτοι φθιμένῳ μέγα τἀκοῦσαι

διδόμενα), Lohn. Der Schwertlohn ist ein euphemistischer Ausdruck für Tod durch das Schwert. Vgl. Schol. zu El. 95 *ξένια Ἄρεως τραύματα φόνοι. καὶ Ἀρχίλοχος „ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι“.* **821.** *αὐτόνομος, ἰδίῳ καὶ καινῷ νόμῳ*, nach eigenem Brauch, wie kein anderer der Sterblichen. **823.** Antigone kennt noch ein trauriges Los, das dem ihrigen gleicht: wie sie lebendig von steinerner Mauer umschlossen werden soll, so ward Niobe, die Tochter des Tantalos, lebend vom Felsen umfangen. Vgl. El. 150 *ἰὼ παντλάμων Νιόβα, ἅτ' ἐν τάφῳ πετραίῳ αἰαῖ δακρύεις.* Die schöne Sage von der versteinerten Niobe, der mater dolorosa des Altertums, lehnt sich wie ähnliche deutsche Sagen an die natürliche, nachher von Menschenhand ergänzte Gestaltung eines Felsens am Berge Sipylos in Lydien an, welche die Umrisse einer in Trauer dasitzenden und von Schmerz gebeugten (der Kopf ist etwas geneigt) Frau erkennen läßt. — *Φρυγίαν*: in weiterem Sinne umfaßte der Name Phrygien auch die Gegend am Sipylos. — *ξέναν*, weil Niobe Gattin des thebanischen Königs Amphion war. **827** ff. Felsenwuchs machte sie regungslos, umklammerte sie. — *καί νιν*: in einem selbständigen Satze wird das Gleichnis ohne Rücksicht auf das tertium comparationis selbständig ausgeführt; daher dann 832 das Relativ *ᾇ*. — *τακομέναν*: Hom. *Ω* 617 *ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει*, Ovid Met. VI 311 fixa cacumine montis Liquitur, et lacrimas etiam nunc marmora manant. Wasser rieselt über die Felsengestalt herab und unten ist eine starke Quelle. **834.** *θεός* als Enkelin des Zeus. **836** f. *τὸ ἀκοῦσαι*

τοῖσι θεοῖσιν σύγκληρα λαχεῖν
⏑⏑— ⏑⏑— ⏑⏑— ⏑⏑—
ζῶσαν καὶ ἔπειτα θανοῦσαν.

ΑΝ. οἴμοι γελῶμαι. τί με, πρὸς θεῶν πατρῴων, stroph. II.
οὐκ οἰχομέναν ὑβρίζεις,
ἀλλ' ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρῆναι Θήβας τ'
εὐαρμάτου ἄλσος, ἔμπας

σύγκληρα τοῖσι θεοῖσιν λαχεῖν μέγα ἐστὶ φθιμένῳ, nach dem Tode gepriesen zu werden, daß man gleiches Los mit den Göttern gehabt, ist hoher Ruhm. Vgl. Hom. λ 304 τιμὴν δὲ λελόγχασι ἶσα θεοῖσιν. — Nach 837 ist durch mangelhaften Sinn wie durch die Zahl der entsprechenden Anapäste 817—22 eine Lücke angezeigt. **839.** Antigone, welche das kalte Urteil des Chors inbetreff der Rühmlichkeit ihrer Todesart als Hohn empfindet, fleht die Bürgerschaft, fleht die leblose Natur um das Mitleid an, das sie bei den Menschen nicht zu finden glaubt. Der Chor hält sein Urteil von 603 λόγου τ' ἄνοια καὶ φρενῶν ἐρινύς fest, nur kleidet er es in mildere Form. Die Art des logaödischen Versmaßes entspricht der leidenschaftlichen Erregung der gekränkten Antigone:

I — ´⏑ — ´⏑⏑ —⏑ —⏑ ——
— ´⏑⏑ —⏑ ——
´⏑⏑ —⏑
´⏑⏑ —⏑ —
⏓ — ´⏑⏑ —⏓
II ⏑ — ´ —— —— ——
— ´⏑⏑ —⏑ — —
⏑ ´⏑⏑ —⏑ — ⏑
III — ´⏑ —⏑ —⏑ — —⏑ —
⏑ —⏑ ´⏑ ⏑⏑⏑ —
⏑ —⏑ ´⏑ —⏑ —
IV ⏑ — ´ — —
⏑ — ´⏑⏑ —⏑ —⏓
V ⏑ —⏑ ´ —⏑ —⏑ —⏑
VI ⏑ —⏑ ´⏑ —⏑ —
⏓ —⏑ ´⏑ —⏑ —
⏑ ⏑⏑⏑ ´⏑ —⏑ ⏓
VII ⏑ ´ — ´⏑ —⏑ — ⏓

840 f. οὐκ οἰχομέναν d. h. wenn du mich verhöhnen willst, so warte wenigstens, bis ich dahin bin. **845** f. ἔμπας, wenn auch die Bürger,

ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,
οἷα φίλων ἄκλαυτος, οἵοις νόμοις
πρὸς ἕργμα τυμβόχωστον ἔρ-
χομαι τάφου ποταινίου,
ἰὼ δύστανος,
βροτοῖς οὐδὲ νεκροῖς ἰοῦσα
μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσιν.

ΧΟ. προβᾶσ' ἐπ' ἔσχατον θράσους
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπεσες, ὦ τέκνον, πολύ.
πατρῷον δ' ἐκτίνεις τιν' ἆθλον.

ΑΝ. ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας antistr. II.
πατρὸς τριπόλιστον οἶκτον
τοῦ τε πρόπαντος

wenn auch die Menschen kein Mitleid fühlen, so seid ihr jedenfalls meine Zeugen. In ξυμμάρτυρας hat σύν die gleiche Bedeutung wie in ξυνειδέναι 266. ξυμμάρτυρας ἐπικτῶμαι s. v. a. ἐπιμαρτύρομαι. — ὔμμε (äolisch) für ὑμᾶς wie Od. K. 247 ὔμμι für ὑμῖν. **847** f. φίλων ἄκλαυτος, vgl. 1034, Kr. II 47, 26, 9. — ἕργμα, περίφραγμα, Umschließung. **851** f. βροτοῖς οὐδὲ νεκροῖς für οὔτε βροτοῖς οὔτε νεκροῖς wie Phil. 771 ἑκόντα μηδ' ἄκοντα, Äsch. Ag. 537 Πάρις γὰρ οὐδὲ συντελὴς πόλις. — Durch οὐ ζῶσιν, οὐ θανοῦσιν wird das ποταίνιον noch einmal besonders hervorgehoben. **855**. προσέπεσες πολύ, heftig bist du daran geraten, vehementer offendisti. Die Drangsal, mit der du büßest, ist vom Vater ererbt, d. h. eine Folge der vom Vater ererbten Leidenschaftlichkeit. Vgl. 471, 603. — ἆθλον steht wie τίσιν (τιμήν) bei τίνειν, ἀποτίνειν. **857** ff. Was der Chor zur Erklärung des Schicksals der Antigone geäußert, ist für diese Anlaß zu neuer Wehklage. — ἔψαυσας . . μερίμνης geht in den Sinn und die Konstruktion von ἀνέμνησας über (ἀνέμνησας οἶκτον) wie z. B. Äsch. Sieb. g. Th. 277 μέριμναι ζωπυροῦσι τάρβος ebenso wie ταρβῶ mit dem Acc. τὸν ἀμφιτειχῆ λεών oder Eur. Bakch. 1288 καρδία πήδημ' ἔχει im Sinne von δέδοικα mit dem Acc. τὸ μέλλον oder Demosth. IV 45 τεθνᾶσι τῷ δέει wie δεδοίκασι mit dem Acc. τοὺς τοιούτους ἀποστόλους oder im Lat. venit mihi in mentem wie memini mit dem Gen. verbunden wird; vgl. Kr. II 46, 11, 3. — τριπόλιστον (von πολίζω, πολέω), dreimal gepflügt, immer wiederholt, die immer (von mir) wiederholte Jammerklage. — κλεινοῖς Λαβδακίδαισιν (statt des Gen.) ist abhängig von dem in πότμος liegenden Begriff des Zufallens (πίπτω), vgl. Kr. I 48, 12, 4. Ebenso nachher κοιμήματα πατρί nach

ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων ἆται
κοιμήματά τ' αὐτογέννητ'
ἐμῷ πατρὶ δυσμόρῳ ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν·
πρὸς οὓς ἀραῖος, ἄγαμος, ἅδ'
ἐγὼ μέτοικος ἔρχομαι.
ἰὼ δυσπότμων
κασίγνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.
ΧΟ. σέβειν μὲν εὐσέβειά τις,
κράτος δ' ὅτῳ κράτος μέλει
παραβατὸν οὐδαμᾷ πέλει,
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.
ΑΝ. ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος ταλαίφρων ἄγομαι epod.

der Konstruktion κοιμᾶσθαί τινι. 864 ff. Lager der Mutter bei dem eigenen Sohne, meinem unglückseligen Vater. — οἵων bezieht sich auf κοιμήματα, οὓς auf πατρὶ ματρός. 867. ἀραῖος, weil aus solcher Ehe entsprossen. — ἅδε, so wie ich hier stehe (ohne tot zu sein). Vgl. 567. 870. Die unselige Heirat des Vaters, der Verlust der eigenen Heirat (ἄγαμος) erinnert Antigone an die unglückliche Heirat des Polynikes, welche durch den Zug gegen Theben den Brudermord und damit den Untergang des letzten Sprößlings des Labdakidengeschlechts veranlaßt hat. 872 ff. Den Worten θανὼν . . κατήναρές με setzt der Chor die Bemerkung entgegen: „du bist selbst schuld an deinem Verderben; denn vorsätzlich hast du dich gegen die Obrigkeit, die nicht zugeben kann, daß ihre Gebote übertreten werden, aufgelehnt, wenn immerhin eine fromme Pflicht dich dazu bewogen hat". σέβειν ist allgemein gesagt ohne bestimmtes Objekt, erhält aber seine Beziehung durch das vorausgehende θανὼν κτέ. sowie dadurch, daß die That der Antigone jedem vor Augen schwebt (vgl. 943): „ehren (wie du die Toten geehrt hast) ist wohl eine Frömmigkeit (deiner That liegt allerdings eine gewisse Frömmigkeit zugrunde), auf der andern Seite aber muß derjenige, dem die Staatsgewalt obliegt, diese als unverletzlich wahren" (κράτος τῷ κρατοῦντι οὐδαμῇ παραβατόν ἐστι). — ὀργή, Eifer. 876. In der Epodos faßt Antigone noch einmal ihren ganzen Jammer zusammen.

⏑ —⏑ ⏑́⏑⏑ ⏑⏑⏑ — —⏑ —́ —⏑⏑ —
—⏑ —́ —⏑⏑ —⏑⏑

τάνδ' ἑτοίμαν ὁδόν. οὐκέτι
μοι τόδε λαμπάδος ἱερὸν ὄμμα
θέμις ὁρᾶν ταλαίνᾳ,
τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον οὐδεὶς φίλων
στενάζει.

ΚΡΕΩΝ.

ἆρ' ἴστ', ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν
ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη λέγειν;
οὐκ ἄξεθ' ὡς τάχιστα; καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,
ἄφετε μόνην ἔρημον, εἴτε χρῇ θανεῖν
εἴτ' ἐν τοιαύτῃ ζῶσα νυμφεύειν στέγῃ·
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.

ΑΝ. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις ἀείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Φερσέφασσ' ὀλωλότων·
ὧν λοισθία ἐγὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι κάρτ' ἐν ἐλπίσιν τρέφω
φίλη μὲν ἥξειν πατρί, προσφιλὴς δὲ σοί,

—◡◡ ´—◡◡ ◡◡◡ —◡
◡◡◡ ´—◡ — —
—◡ ´—◡ ◡◡◡ —◡ — ´—◡ —◡ ——

877 f. ἑτοίμην im Sinne von ἄγομαι κοὐκέτι μέλλω 939. — λαμπάδος d. i. ἡλίου. **881.** ἀδάκρυτον, um die Wirkung von οὐδεὶς φίλων στενάζει anzugeben, vgl. Äsch. Pers. 391 ἄνανδρον τάξιν ἠρήμου θανών und zu Öd. K. 1200. — Es ist ein Trost, wenn man stirbt φίλοισι ποθεινός, wie es in griechischen Grabschriften heißt. **883.** Kreon tritt aus dem Hause und gewahrt zu seinem Ärger, daß sein Befehl noch nicht erfüllt ist. — Zu verbinden ἆρ' ἴστε, ὡς, εἰ ἀοιδὰς καὶ γόους πρὸ (anstatt) τοῦ θανεῖν λέγειν χρείη (wenn es gälte, darauf ankäme), οὐδ' ἂν εἷς παύσαιτο (λέγων). **886.** εἴρηκα, vgl. zu 780. **887.** χρῇ für χρῄζει (θέλει). **888.** νυμφεύειν: das sarkastische Wort erfüllt sich in schrecklicher Weise. Vgl. 1249 f. **889.** ἁγνοί d. i. wir vergießen ihr Blut nicht. — Zu τὸ ἐπὶ τήνδε vgl. Kr. I 68, 41, 9. **897.** Ich ziehe den Gedanken in Hoffnungen groß (ich nähre in mir die Hoffnung). Vgl. 1246. **898.** φίλη μὲν . . προσφιλὴς

μῆτερ, φίλη δὲ σοί, κασίγνητον κάρα·
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα κἀκόσμησα κἀπιτυμβίους
χοὰς ἔδωκα. νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι·
[καίτοι σ' ἐγὼ ἐτίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκν' ὧν μήτηρ ἔφυν,
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.

δέ: zu 482. **899.** κασίγνητον κάρα, Eteokles. Den Polynikes will sie noch besonders erwähnen. **902.** τὸ σὸν δέμας περιστέλλουσα: was bei dem andern recht war, wird bei dir gestraft. περιστέλλειν ist der eigentliche Ausdruck vom Ankleiden der Leiche, welches bei den Griechen den nächsten Anverwandten oblag, wird aber auch von dem Besorgen der Bestattung überhaupt gebraucht. **904.** εὖ zu ἐτίμησα. — Die Verse 904—920 sind wie die V. 465—468 ein späteres Einschiebsel, wahrscheinlich bei einer Wiederaufführung, vielleicht von Sophokles' Sohn Iophon eingefügt. Möglicherweise gehört die ganze Partie 891—932 dem Interpolator an, da die lange Rede sich nicht gut mit ὡς τάχιστα 885 verträgt und die Angabe inbetreff des Eteokles 889 ff. mit 23 ff. und der Zeitbestimmung (zu 15) schwer vereinigt werden kann. „Nachdem die Heldin im Laufe des Stückes die herrlichsten Gründe für ihre Handlung ausgesprochen und den Edelmut der reinsten Seele entwickelt hat, bringt sie zuletzt, als sie zum Tode geht, ein Motiv vor, das ganz schlecht ist und fast ans Komische streift" (Goethe). Dazu kommt Unbeholfenheit des Ausdrucks und Ungeschicklichkeit in der Benützung einer Stelle des Herodot III 119, welche der Interpolation zugrunde liegt. Bei Herodot nämlich gestattet Darius der Gattin des Intaphernes, der mit allen seinen männlichen Nachkommen und Verwandten sterben soll, einen ihrer Verwandten loszubitten. Sie wählt den Bruder, weil sie einen anderen Gatten und andere Kinder wieder haben könne, einen anderen Bruder aber nicht, da ja Vater und Mutter tot seien. Hier ist die Wahl gerechtfertigt, wo es darauf ankommt, einen Verwandten am Leben zu erhalten. An unserer Stelle aber handelt es sich um die Bestattung des toten Bruders, wobei es gleichgiltig ist, ob die Eltern noch leben oder nicht. Und Antigone vergißt alle Bruderliebe und alle religiöse Pflicht, die sie bis zum Ende hochhält; denn die religiöse Pflicht, die Verwandten zu bestatten, bleibt dieselbe, mag man statt deren einen Ersatz haben können oder nicht. **905** f. τέκν' .. ἔφυν (Kinder, deren Mutter ich wäre), nämlich κατθανόντα ἐτήκετο. — ἐτήκετο soll den Sinn haben „unbestattet verwesete". **907.** βίᾳ πολιτῶν sagt 79 Ismene, Antigone pflegt sich nicht so auszu-

τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον·
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν
ἄλεκτρον ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος
ζῶσ' ἐς θανόντων ἔρχομαι κατασκαφάς·]
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ — πλείω κακὰ

drücken. **909 f.** *κατθανόντος, αὐτοῦ, τοῦ προτέρου.* — Besser wäre *καὶ παῖς ἂν ἄλλος, παιδὸς εἰ τοῦδ' ἤμπλακον*, denn der Gatte braucht ja in dem Falle nicht gestorben zu sein. Die Worte *εἰ τοῦδ' ἤμπλακον* aber fallen in den Sinn der Herodotischen Stelle zurück, wo es heißt *καὶ τέκνα ἄλλα (γένοιτο), εἰ ταῦτα ἀποβάλλοιμι.* Hier sollte von der Bestattung die Rede sein. Ebenso 912. **918 f.** *παιδείου τροφῆς, παίδων τροφῆς.* — *ἀλλά*: vgl. zu 810. **919.** *ἔρημος πρὸς φίλων* statt des gewöhnlichen *ἔρημος φίλων.* **923 f.** *τίνα ξυμμάχων* für *τίνα ξύμμαχον* wie Trach. 307 *τίς ποτ' εἶ νεανίδων;* — *τὴν δυσσέβειαν ἐκτησάμην*, den Ruf, den Vorwurf der Gottlosigkeit. Vgl. Ai. 75 *οὐ σῖγ' ἀνέξῃ μηδὲ δειλίαν ἀρῇ;* **925.** *ἐν θεοῖς*, in den Augen der Götter, vgl. Eur. Frgm. 347 *ἔν γ' ἐμοὶ κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν.* **926.** *παθόντες — ἡμαρτηκότες*: wenn eine Frau von sich in der Mehrzahl spricht, steht das Mask. wegen der Verallgemeinerung. — *ξυγγνοῖμεν, συνειδείημεν*, zur Einsicht kommen (durch Schaden klug werden, *παθοῦσα μαθήσομαι* nach dem Sprichwort). **927.** Bitter sagt Antigone nicht, was man seinem Feinde zu wünschen pflegt, *μὴ μείω (τὰ ἴσα) κακά*, sondern *μὴ πλείω*, um auszudrücken, daß

πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.
ΧΟ. ἔτι τῶν αὐτῶν ἀνέμων αὑταὶ
ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν.
ΚΡ. τοιγὰρ τούτων τοῖσιν ἄγουσιν
κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.
ΑΝ. οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω
τοὔπος ἀφῖκται.
ΧΟ. θαρσεῖν οὐδὲν παραμυθοῦμαι
μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
ΑΝ. ὦ γῆς Θήβης ἄστυ πατρῷον
καὶ θεοὶ προγενεῖς,
ἄγομαι δὴ 'γὼ κοὐκέτι μέλλω.
λεύσσετε Θήβης οἱ κοιρανίδαι
τὴν Λαβδακιδᾶν μούνην λοιπήν,
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,
τὴν εὐσεβίαν σεβίσασα.

sie das Allerschlimmste und Ärgste erleide („nicht mehr, denn damit ist es genug"). **929 f.** Das Epeisodion schließt mit einem anapästischen Hypermetron (929—943), wie sonst öfters das Abtreten einer Person von Anapästen begleitet wird. — Häufungen wie τῶν αὐτῶν — αἱ αὐταί finden sich oft bei den Tragikern. ψυχῆς ist von dem einheitlichen Begriff ἀνέμων ῥιπαί (Sturmeswehen) abhängig. Die vom Chorführer bemerkte leidenschaftliche Erregung hat sich in der Verwünschung 927 f. ausgesprochen. **931.** τοιγάρ steht in dem besonderen Sinne „zur Strafe, zum Lohne (994) dafür". — τούτων (hiefür) κλαύματα ὑπάρξει nach der Redensart κλαύσῃ („du sollst es büßen"), vgl. 754. **936.** μὴ οὐ: Kr. I 67, 12, 6, Cu. 232, 5 f, Ko. 130, 14, Ku. 183, 3. — κατακυροῦσθαι, bestimmt und abgemacht sein. **937.** πατρῷον statt des gewöhnlichen πάτριον, denn πατρῷος bedeutet eigentlich, was von dem Vater, πάτριος, was von den Vätern herrührt. **938.** θεοὶ προγενεῖς: Ares und Aphrodite, deren Tochter Harmonia die Gemahlin des Kadmos war (vgl. Äsch. Sieb. 126). **939.** κοὐκέτι μέλλω, οὐκέτι μέλλουσα, ohne Verzug. **940.** οἱ: zu 100. — κοιρανίδαι, κοίρανοι, ἄνακτες (988) heißen die altadeligen Geschlechter, von denen Antigone mehr Interesse für das alte Königshaus erwartet. — Ismene wird von Antigone nicht beachtet. Sie gehört ihr zur Sippschaft des Kreon, vgl. 549. **943.** Antigone wird abgeführt. Der Chor, der in Gedanken noch ganz mit ihrem Schicksal beschäftigt ist, redet 949, 987 die abwesende an. Kreon bleibt auf der Bühne.

ΧΟΡΟΣ.

Ἔτλα καὶ Δανάας οὐράνιον φῶς stroph. I.
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
αὐλαῖς· κρυπτομένα δ' ἐν
τυμβήρει θαλάμῳ κατεζεύχθη·
καίτοι καὶ γενεᾷ τίμιος, ὦ παῖ παῖ,

944—987. Im vierten Stasimon tröstet der Chor die Antigone wie Eur. Med. 1017 der Pädagog die Medea wegen des Verlustes ihrer Kinder tröstet: *οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων· κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς* (non tibi hoc soli Cic. Tusc. III § 33). „Ertrage was dir verhängt ist; denn du mußt es ertragen (951); nicht dir allein ist solches Leid widerfahren (*οὔτοι σοὶ μούνᾳ, τέκνον, ἄχος ἐφάνη βροτῶν* El. 153)." Vgl. Hom. *E* 382 *τέτλαθι, τέκνον ἐμόν . . πολλοὶ γὰρ δὴ τλῆμεν . . τλῆ μὲν Ἄρης . . τλῆ δ' Ἥρη . . τλῆ δ' Ἀΐδης κτέ.* Die ruhige Betrachtung des Chors gewährt einen Augenblick wohlthuender Ruhe vor der neuen Erregung. Die erste Strophe hebt in feierlich ernstem (logaödisch-jambischem) Rhythmus an:

I — — —́ ⏑ ⏑ — — ⏑ ⏑ —́ ⏓
— — —́ ⏑ ⏑ — — ⏑ ⏑ —
— — —́ ⏑ ⏑ — —
— — —́ ⏑ ⏑ — ⏑ — — —
II — — —́ ⏑ ⏑ — — ⏑ ⏑ —́ — —
— — —́ ⏑ ⏑ — —
⏑ ⏑ — —́ ⏑ ⏑ —
— — —́ ⏑ ⏑ — — ⏑ ⏑ — — —
III — — ⏑ —́ ⏑ — ⏑ —
⏓ — ⏑ —́ ⏑ — ⏑ —
⏑ — — —́ ⏑ — ⏑ — ⏓

944. *Δανάας δέμας ἔτλα ἀλλάξαι οὐράνιον φῶς ἐν χ. αὐλαῖς* (das Licht des Himmels vertauschen, verlassen, um im dunklen Gemach zu weilen). Danae wurde von ihrem Vater Akrisios, König von Argos, in einem unterirdischen Gemache, dessen Wände mit Erzplatten belegt waren (*χαλκοῦς θάλαμος* Paus. II 23, 7), verwahrt, damit sie nicht Mutter eines Sohnes werde, der einem Orakelspruch zufolge den Vater zu töten bestimmt war. Zeus aber kam in Gestalt goldenen Regens zu ihr hernieder (950) und erzeugte den Perseus. **949** f. *τίμιος, ἦν*, Kr. I 62, 1, 6. — *ταμιεύεσκε*, sie hegte und verwahrte, wie eine Schaffnerin (*ταμία*) das ihr anvertraute Gut des Hauses wahrt. Iterativ statt des

καὶ Ζηνὸς ταμεύε-
σκε γονὰς χρυσορύτους.
ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά.
οὔτ' ἄν νιν ὄλβος οὔτ' Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.

ζεύχθη δ' ὀξύχολος παῖς ὁ Δρύαντος, antistr. I.
Ἠδωνῶν βασιλεύς, κερτομίοις
ὀργαῖς ἐκ Διονύσου
πετρώδει κατάφαρκτος ἐν δεσμῷ.
οὕτω τᾶς μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τε μένος. κεῖνος ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους
γυναῖκας εὔιόν τε πῦρ,
φιλαύλους δ' ἠρέθιζε Μούσας.

einfachen Imperfekts. Anders 962. **951.** *δεινά τις.* **955.** Auch Lykurgos, der König der Edoner in Thrakien (*Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος* Hom. *Z* 130), ward auf Geheiß des Dionysos am Berg Pangäon in Felsenbande gelegt, weil er, wie Pentheus in Theben, die gottesdienstliche Feier der Bakchantinnen gestört und diese verjagt hatte. **955.** *ζεύχθη δέ*, wie wenn *κατεζεύχθη μέν* vorherginge. Vgl. zu 482 f. **956.** *κερτομίοις ὀργαῖς* (dat. caus.), ob seines schmähsüchtigen Eifers, ob seiner eifernden Schmähreden. Solche Schmähreden gegen Dionysos und dessen Kultus aus dem Munde des Lykurgos enthielt das erste Stück der *Λυκούργεια* des Äschylos *Ἠδωνοί.* — *ἐκ Διονύσου*, *ὑπὸ Διονύσου* (*κατάφαρκτος*). **959.** So wird thörichter Übermut gebrochen. Der Übermut erscheint als ein Geschwür, welches zeitig geworden aufbricht und zusammenfällt: „so träufelt des Wahnsinns arge und blühende Wut ab“. *ἀνθηρόν* (*τὸ ἀκμαῖον* Schol., vgl. *μανίας ἄνθος* Trach. 999) weist auf das tertium comparationis, die *ἀκμή* (Reife), hin. **960 f.** *κεῖνος ἐπέγνω τὸν θεὸν ψαύων* (*αὐτοῦ*) *μανίαις ἐν κερτ. γλ.*, er erkannte den Gott (die Göttlichkeit des Dionysos, den er, wie Pentheus in den *Βάκχαι* des Euripides, für einen verwegenen Menschen gehalten), da er in Wahnsinn ihn neckte mit spöttischen Reden. *ἐν γλώσσαις* wie Phil. 1393 *ἐν λόγοις πείθειν* statt des bloßen Dativs. **964 f.** *εὔιον πῦρ*: die Bakchantinnen ließen den bakchischen Ruf *εὐοῖ εὐοῖ* erschallen und schwangen die Fackel dazu. — *φιλαύλους Μούσας*: Flötenspiel ist dem bakchischen Kultus besonders eigentümlich. Eustath. Od. 17, 205 *λέγονται καὶ Μοῦσαι Διονύσου*

παρὰ δὲ κυανέων σπιλάδων διδύμας πέτρας stroph. II.
ἀκταὶ Βοσπόριαι ἰδ' ὁ Θρῃκῶν ἄξενος
Σαλμυδησσός, ἵν' ἀγχίπτολις Ἄρης
δισσοῖσι Φινεΐδαις

τροφοί. **966.** Auch die Enkelin des athenischen Erechtheus Kleopatra wurde in ein Grabgemach eingeschlossen und deren Söhne wurden geblendet. Kleopatra war geboren von Orithyia, der Tochter des Erechtheus, und dem geflügelten Windgott Boreas, der Orithyia von Athen nach seiner thrakischen (d. i. nördlichen) Heimat entführt hatte. Kleopatra wurde die Gemahlin des Phineus, des Königs von Salmydessos, und gebar ihm zwei Söhne. Sie wurde verstoßen und in ein Felsverließ eingeschlossen; Phineus aber heiratete Idäa, die Tochter des Dardanos, des Königs der Skythen, welche ihre Stiefsöhne blendete. — Das logaödisch-jambische Versmaß der zweiten Strophe ist:

I ⏑́⏑⏑ –⏑⏑ –⏑⏑ –́⏑⏑ –⏑ –
–́ – –⏑⏑ –⏑⏑ –́ – –⏑ –
–́ ⏓ –⏑⏑ – –́⏑⏑ – –
II – –́⏑ –⏑⏑ –
–́⏑⏑ –⏑ –⏓
III ⏑ –́⏑ – –⏑ –́⏑ – ⏓
IV ⏑ ⏑́⏑⏑ –⏑ –⏑ ⏑́⏑⏑ –⏑ –
⏑ –́ – –⏑ –́⏑ – –
– –́⏑ – –⏑ –́⏑ – ⏓

966. Nach epischer Weise geht der Erzählung die Schilderung der Örtlichkeit voraus. Zur Seite der dunklen Symplegaden am thrakischen Bosporus erstreckt sich die hafenlose und für Schiffe gefährliche Felsenküste von Salmydessos. Die zwei Felsen der dunklen Klippen sind die *κυάνεαι Συμπληγάδες*, zwei Felseninseln am Nordeingang des Bosporus (die am asiatischen Ufer ist jetzt verschwunden, die am europäischen in mehrere Teile gespalten), welche man mit den Homerischen *Πλαγκταί* identifizierte (Herod. IV 85). Vgl. Eur. Medea 432 *διδύμας ὁρίσασα πόντου πέτρας*, 1263 *κυανεᾶν Συμπληγάδων πετρᾶν ἀξενωτάταν ἐσβολάν*. — *παρά*: zu 1123. **969** f. Das in den Handschriften fehlende *ἄξενος* ist von Boeckh ergänzt, vgl. Äsch. Prom. 752 *τραχεῖα πόντου Σαλμυδησσία γνάθος, ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν*, Xen. Anab. VII 5, 12. — *ἀγχίπτολις*: Thrakien ist der gewöhnliche Wohnsitz des Ares (*ἐκ Θρῄκης* Hom. *N* 301, Gradivum patrem Geticis qui praesidet arvis Verg. Än. III 35). — Ares ist immer dabei, wo Menschenblut vergossen wird (*τούτῳ γὰρ Ἄρης βόσκεται, φόνῳ βροτῶν* Äsch. Sieb. 230). **971** ff. *εἶδεν ἀρατὸν ἕλκος δισσοῖσι Φινεΐδαις, ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις, ἀραχθὲν ἐξ ἀγρίας δάμαρτος* (sah wie von der wilden Gattin den beiden

εἶδεν ἀρατὸν ἕλκος
ἀραχθὲν ἐξ ἀγρίας δάμαρτος
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις,
ἄτερθ᾽ ἐγχέων ὑφ᾽ αἱματηραῖς
χείρεσσι καὶ κερκίδων ἀκμαῖσιν.

κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν antistr. II.
κλαῖον ματρὸς ἔχοντες ἀνύμφευτον γονάν·
ἃ δὲ σπέρμα μὲν ἀρχαιογόνων ἐξ
ἄρτασ᾽ Ἐρεχθεϊδᾶν,
τηλεπόροις δ᾽ ἐν ἄντροις
τράφη Θυέλλαισιν ἐν πατρῴαις
Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου
θεῶν παῖς· ἀλλὰ κἀπ᾽ ἐκείνᾳ
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

ΤΕΙΡΕΣΙΑΣ.

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν

Söhnen des Phineus eine himmelschreiende Wunde geschlagen ward, Blendung den ~~grauenhaften~~ Höhlen der Augen). Mit *ἀλαὸν* wird eine nähere Bestimmung zu *ἀρατὸν ἕλκος*, wie mit *ὀμμάτων κύκλοις* zu *δισσοῖσι Φινεΐδαις* (zu 319) gegeben. — Der Gleichklang *ἀλαὸν ἀλαστόροισιν* hebt das Grauen hervor, welches in den hohlen Augen wohnt und Rache verlangt (*ἀλαστόροις*). — *ὑπὸ χείρεσσι*: Kr. II 68, 44 Anm. — *κερκίδων ἀκμαῖσι* gehört nicht zu *ὑπό*, sondern ist Dativ des Mittels. **977** f. *κατατηκόμενοι*. — *μέλεοι μελέαν κτέ.*, unglücklich beweinten sie das unglückliche Schicksal der Mutter, die als eine *νύμφη ἄνυμφος* (*δύσνυμφος*) sie zum Unglück geboren; sie beklagten also im Leid der Mutter ihr eigenes Leid. **981** f. *σπέρμα ἤρτησε ἐξ ἀρχαιογόνων Ἐρεχθεϊδᾶν*: *κῆδος συνῆψε* (Schol.) *Ἐρεχθείδαις*. Vgl. Eur. Med. 564 *ξυναρτήσας γένος*. **984.** *Θυέλλαισιν* mythische Personifikation: sie lebte unter diesen wie unter Schwestern. **985** ff. Roßschnell ist die Boreastochter, weil sie windschnell ist. Vgl. Hom. *Π* 149. — *ὑπέρ*, oben auf, vgl. 1126. — *ἀλλὰ καί*, obwohl sie von solcher Abkunft war. — *Μοῖραι* wie 951. — *ἔσχον ἐπ᾽ ἐκείνᾳ*, drangen auf sie ein. Hom. *χ* 75 *ἐπὶ δ᾽ αὐτῷ πάντες ἔχωμεν*.

988—1144 fünftes Epeisodion. Umkehr der Handlung (*μετάβασις τῶν πραγμάτων*): durch die Weissagung des blinden Sehers Tiresias wird Kreon erschüttert und fängt an, seine Schuld einzusehen. Da er forteilt, Antigone zu befreien, wird am Ende unmittelbar vor der Katastrophe die Hoffnung erweckt, daß alles sich noch zum Guten wende

δύ' ἐξ ἑνὸς βλέποντε· τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος, ἐκ προηγητοῦ, πέλει.
ΚΡ. τί δ' ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;
ΤΕΙ. ἐγὼ διδάξω, καὶ σὺ τῷ μάντει πιθοῦ.
ΚΡ. οὐκ οὖν πάρος γε σῆς ἀπεστάτουν φρενός.
ΤΕΙ. τοιγὰρ δι' ὀρθῆς τήνδ' ἐναυκλήρεις πόλιν.
ΚΡ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
ΤΕΙ. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
ΚΡ. τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
ΤΕΙ. γνώσῃ, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
ἐς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμήν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ
κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένως·
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.

(Moment der letzten Spannung). — Tiresias tritt (rechts) auf, geführt von einem Knaben. 990. *αὕτη*, *τοιαύτη*, näher bestimmt durch *ἐκ προηγητοῦ*. 993. *πάρος*, als Kreon auf den Rat des Tiresias seinen Sohn Megareus opferte und dadurch die Stadt rettete. Vgl. 1058. 994. *τοιγάρ*: zu 931. — *δι' ὀρθῆς*, *ναυκληρίας*, wie aus *ἐναυκλήρεις* zu ergänzen; *ὀρθῆς* ist zu erklären wie oben 163 *ὤρθωσαν* vom aufrechtstehenden, gerade segelnden Schiffe. Vgl. Äsch. Ag. 229 *φρενὸς πνέων δυσσεβῆ τροπαίαν* (*πνοήν*), 1640 *ζεύξω βαρείαις* (*ζεύγλαις*). — *ναυκληρεῖν πόλιν* wie Äsch. Sieb. 639. 996. *φρόνει*, *ἐπίστω βεβώς*. — *ἐπὶ ξυροῦ τύχης* wie Hom. *Κ* 173 *νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς* (Goethe sagt einmal: „vom Schauspieler will ich gar nicht reden; sie tanzen auf der Rasiermesserschärfe des Augenblicks" und Schiller Fiesko II 4 „der Staat gaukelt auf einer Nadelspitze"). 997. *ὡς* kausal. 999. *Θηβαίοις ἐστὶν οἰωνοσκοπεῖον Τειρεσίου καλούμενον* Paus. IX 16, 1. 1000. Wie vom Meere ein Stück als Hafen abgegrenzt ist, in welchen man die Schiffe einlaufen sieht, so grenzte der Augur mit dem lituus einen Bezirk des Luftmeeres ab (templum), in welchem sich *οἱ πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι* sammeln. Ausdrücke wie *λιμήν*, *οἴστρῳ* 1002, *φθίνοντα ἀσήμων* 1013, *εὐσήμους* 1021 scheinen Kunstausdrücke der Mantik zu sein. 1002 ff. *κλάζοντας* nach dem Sinne *φθεγγομένους ὄρνιθας*. Vgl. 259 f. — *ἐν χηλαῖσιν*, weil die Vögel einander zwischen den Krallen haben. — *φοναῖς*, sie zerzausten sich blutig. — *ῥοῖβδος*: der blinde Seher

εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο
κἄτυφε κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα,
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα·
ἐμοὶ γὰρ οὗτος ἡγεμών, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν οὐδὲ μηρίων φλόγα,

konnte es also wahrnehmen. **1005 f.** *ἀπεπειρώμην τῆς διὰ πυρὸς μαντείας.* Die *ἐμπυρομαντεία* entnahm die Wahrzeichen aus den Formen, der Helle und Wirkung der Opferflamme. — *(ἐν) βωμοῖσι παμφλέκτοισι,* das Opfer auf dem Altare wurde auf allen Seiten angezündet. **1008 f.** Die Schenkelknochen waren in Fett eingehüllt. Das Fett floß auseinander, weil das Feuer nicht hell aufflammte und das Opfer schnell verzehrte. — *ἔτυφε,* qualmte; *ἀνέπτυε,* sprühte. Die hoch sich aufblähende Galle (gewöhnlich wurde die Galle noch auf die Schenkelknochen gelegt) verbrannte nicht, sondern zerplatzte. **1010.** Die Schenkelknochen, von denen das Fett herabgeflossen (*μηροὶ καταρρυέντες* f. v. a. *ὧν κατερρύη πιμελή*), lagen von der Fettumhüllung entblößt da. — *καλυπτῆς* passivisch nach der Konstruktion *καλύπτειν τί τινι.* **1013.** *μαντεύματα* metonymisch für *σήματα* (*φθίνοντα σήματα ἀσήμων ὀργίων*). Die Zeichen vergingen, weil das wüste Opfer (*ὄργια*), wie vorher die wirren Vögelstimmen, keine günstige Deutung gestattete. *φθίνοντα* entspricht dem technischen Ausdruck für ungünstige Opferzeichen *ἱερὰ οὐ γίγνεται* (*ἱερὰ γίγνεται* von günstigen Zeichen, vgl. Xenoph. Anab. VI 4, 13 ff.). **1015.** *ταῦτα* wie *ταύτην τὴν νόσον.* **1016.** *παντελεῖς* enthält den Begriff von *πᾶν τέλος* (summa caerimonia, „hochheilige Opferherde") wie *παντελῆ* (*μοναρχίαν*) unten 1163 den Begriff von *πᾶν κράτος* (summa potestas, summum imperium). Das Wort *τέλος* (Amt, Abgabe, Weihe) von der Wurzel *τελ* (tragen) ist zu unterscheiden von *τέλος* (Ende) von der Wurzel tar (endigen). **1017.** *ὑπ' οἰωνῶν τε καὶ κυνῶν πλήρεις* (d. i. *πεπληρω-*

οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοάς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ' οὖν, τέκνον, φρόνησον. ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν,
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκέτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται μηδ' ἀκίνητος πέλει.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε νουθετοῦντι μηδ' ὀλωλότα
κέντει· τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν δ'
ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγοι.
ΚΡ. ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς

μέναι) *βορᾶς τοῦ πεπτῶτος* (von der Leiche) . . *γόνου*. **1021.** *ἀπορροιβδεῖ* gewissermaßen proleptisch von den *οὐκ εὔσημοι βοαί*, vgl. Trach. 435 *νοσοῦντι ληρεῖν* (für *διαλέγεσθαι*). **1022.** *ἀνδροφθόρου αἵματος* wie anderswo *αἷμα παιδοφόνον*, *αἷμα μητροκτόνον*, eigentlich „menschenmordendes Blut" für „Blut, welches bei Menschenmord vergossen ward". — *βεβρῶτες* nach *ὄρνις*: kein Vogel, da sie gefressen haben. *βεβρῶτες λίπος* gibt gleichsam den Grund an zu *οὐδ' εὐσήμους βοάς*: es verdirbt ihre Stimme. **1023.** *τέκνον* sagt der greise Seher mit priesterlicher Würde. **1024.** Vgl. Cic. Phil. XII 2 cuiusvis hominis est errare, nullius nisi insipientis in errore perseverare. **1025** f. *ἐπεὶ* mit dem Konjunktiv ohne *ἄν*: Kr. I 54, 17, 3. Das Subjekt zu *ἁμάρτῃ* ergänzt sich aus dem Hauptsatze. — *ἄνολβος* wie 1265 von der Verblendung und Bethörung des Sinnes (gottverlassen, unselig): **1030.** Nach dem Sprichwort *σφάττειν νεκρόν*. Vgl. Hom. *Ω* 54. In demselben Sinne heißt es in der Antigone des Euripides (Frgm. 176): *τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς, εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;* **1031** f. „In guter Absicht gebe ich guten Rat." — *μανθάνειν τινός* wie 723. — *εἰ λέγοι* wie im Relativsatz 666. — *κέρδος*: dieses Wort ist dem Seher in besonderer Absicht in den Mund gelegt; Kreon versteht darunter etwas anderes. Vgl. 1047, 1061. **1034** ff. *ἀνδρὸς τοῦδε, ἐμοῦ*. — *μαντικῆς ἄπρακτος* wie 847. *μαντικῆς* (*τέχνης*) allgemein für *μάντεων*. „Von Seite der Seherkunst unbehandelt für euch" (selbst mit der Seherkunst bearbeitet ihr mich). *τῶν δέ, τῶν μάντεων*, welches sich aus *μαντικῆς* ergibt. Vgl. 1137. *ὑπαί* wie El. 711, vgl. 653, 1241. *γένους* wie 1055 (von deren Zunft aber). Diese freilich,

ἄπρακτος ὑμῖν εἰμι· τῶν δ' ὑπαὶ γένους
ἐξημπόλημαι κἀμπεφόρτισμαι πάλαι.
κερδαίνετ', ἐμπολᾶτε τἀπὸ Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Δίους θρόνους,
οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ
θάπτειν παρήσω κεῖνον· εὖ γὰρ οἶδ' ὅτι
θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ', ὦ γεραιὲ Τειρεσία, βροτῶν
χοἰ πολλὰ δεινοὶ πτώματ' αἴσχρ', ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.

ΤΕΙ. φεῦ·
ἆρ' οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται,

ΚΡ. τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;

ΤΕΙ. ὅσῳ κράτιστον κτημάτων εὐβουλία;

ΚΡ. ὅσῳπερ, οἶμαι, μὴ φρονεῖν πλείστη βλάβη.

ΤΕΙ. ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.

ΚΡ. οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.

meint Kreon, kann man leicht gegen mich gewinnen; denn von ihnen bin ich längst als Gegenstand des Handels und als gewinnbringende Ware betrachtet (me venalem habent). ἐμπεφόρτισμαι, φόρτος γεγένημαι. In diesem Lichte erscheint dem erbitterten Kreon auf einmal der Rat des Tiresias, seinen Sohn Megareus zu opfern (πάλαι). Mit dem ungerechten Verdacht des leidenschaftlichen Kreon, welcher die Erbitterung und damit die erschütternde Weissagung des Sehers veranlaßt, wird die Umkehr der Handlung gut eingeleitet. Das gleiche Mittel, durch ungerechte Vorwürfe dem Seher seine Geheimnisse abzupressen, hat der Dichter im Öd. T. angewandt. **1038.** ἤλεκτρον nicht Bernstein, sondern Hellgold, eine Metallmischung von Gold und $^1/_5$ Silber. **1040** ff. οὐδὲ . . οὐδ' ὡς „und — auch so nicht". — Δίους wie 1149. οὐ μὴ παρήσω statt des gewöhnlichen οὐ μὴ παρῶ: Kr. I 53, 7, 6. Vielleicht hat es ursprünglich οὐδ' ὥς, μίασμα μὴ τόδ' ᾖ τρέσας geheißen. **1045** ff. sind gegen die Schlußworte des Sehers gerichtet. — οἱ πολλὰ δεινοί, zu 721. — λόγους von dem Inhalt der Reden. **1049.** πάγκοινον „ganz allgemein" bezieht sich auf den Ausdruck ἀνθρώπων τις. **1053.** τὸν μάντιν, einen

ΤΕΙ. καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.
ΚΡ. τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
ΤΕΙ. τὸ δ' ἐκ τυράννων αἰσχροκέρδειαν φιλεῖ.
ΚΡ. ἆρ' οἶσθα ταγοὺς ὄντας ἃ ψέγεις λέγων;
ΤΕΙ. οἶδ'· ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.
ΚΡ. σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.
ΤΕΙ. ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι.
ΚΡ. κίνει, μόνον δὲ μὴ ἐπὶ κέρδεσιν λέγων.
ΤΕΙ. οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος.
ΚΡ. ὡς μὴ ἐμπολήσων ἴσθι τὴν ἐμὴν φρένα.
ΤΕΙ. ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τρόχους ἁμιλλητῆρας ἥλιον τελεῖν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσῃ,
ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω
ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας·

der Seher ist. Vgl. 992. Kr. I 50, 3. Cu. 142, 2. Ko. 72, 4. Ku. 2, 1. **1054.** λέγεις κακῶς. **1055.** Vgl. Frgm. 528 φιλάργυρον μὲν πᾶν τὸ βαρβάρων γένος, Eur. Iph. A. 520 τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν. **1056 f.** τὸ ἐκ τυράννων, was von Herrschern stammt (Herrschergeblüt). — ταγοὺς ὄντας ist abhängig von λέγων, weißt du, daß du mit deinen Tadelreden solche schmähst, die Herrscher sind. **1058.** Bitter in dem Sinne „daß du noch herrschen kannst, verdankst du mir". **1059.** ἀδικεῖν, wegen der kränkenden Worte. **1060 f.** Gesagt mit Beziehung auf das sprichwörtliche μὴ κινεῖν τὰ ἀκίνητα. — τὰ διὰ φρενῶν ἀκίνητα, das was im Innern unverrückt liegen bleiben sollte. — μόνον δὲ (κίνει) . . λέγων. **1062 f.** So denke ich auch nunmehr zu reden, was dich betrifft, d. i. οὐκ ἐπὶ σοῖς κέρδεσιν: Gewinn (Heilsames) für dich wird meine Rede nicht enthalten. — ὡς, Kr. II 56, 4, 4. — ἐμπολήσων, deine κέρδη werden auf meinen Sinn nicht wirken; deine Worte, mögen sie mir Nutzen oder Schaden in Aussicht stellen, werden fruchtlos sein. **1065.** Wettlauf von dem eilenden Tageslauf der Sonne. **1066.** ἐν οἷσι: wie ἐν in ἐν χρόνῳ μακρῷ 422 mit „nach" übersetzt wird, so kann ἐν οἷσι hier mit „bis" wiedergegeben werden. Der Zeitpunkt der Handlung wird als Abschluß der Zwischenzeit genommen. **1068 f.** ἀντὶ τούτων ἅ, (zur Strafe) dafür daß. ἔχεις μέν — ἔχεις δέ als Anaphora, obwohl das zweite eine andere Bedeutung hat (κατέχεις). — τῶν ἄνω, von den oberen einen (Antigone); ψυχὴν — ἐν τάφῳ, ein Leben, das

ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν
ἄμοιρον ἀκτέριστον ἀνόσιον νέκυν.
ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω
θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.
τούτων σε λωβητῆρες ὑστεροφθόροι
λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι βρόχοις.
καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος
λέγω· φανεῖ γὰρ οὐ μακροῦ χρόνου τριβὴ
ἀνδρῶν γυναικῶν σοῖς δόμοις κωκύματα.
(ἐχθραὶ δὲ πᾶσαι συνταράσσονται πόλεις,
ὅσων σπαράγματ' ἢ κύνες καθήγισαν
ἢ θῆρες ἤ τις πτηνὸς οἰωνὸς φέρων
ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.)

